Εἰς τοῦτον ὁ Φοῖβος προσεπόρισε (ἐχάρισε) καί μαντικήν ἱκανότητα καί φωνήν προφητικήν, διά νά λέγῃ εἰς τούς ἀνθρώπους τά μέλλοντα εἰς αὐτούς.
Ἦλθεν ἀφ' ἑτέρου μεταξύ αὐτῶν ὁ Μενοίτιος ἀπό τήν Ὀποῦντα που ἐγειτόνευε μέ τούς Μινύας· ἐπί πλέον ἦλθεν ὁ θεϊκός Ὀϊλεύς.
Κατέφθασε καί ὁ ἐξακουστός Φλίας, τόν ὁποῖον ἐγέννησε κάποια νύμφη,
πού ἐπλάγιασε κάποτε μέ τόν Βάκχον πλησίον εἰς τά ρεύματα τοῦ Ἀσωποῦ·
αὐτός εἶχεν ὡραῖον σῶμα καί σώφρονα σκέψιν.
Ἀπό τήν Ἀρκαδίαν προσῆλθε μεταξύ τῶν ἡρώων ὁ Κηφεύς.
Ἐξ ἄλλου ἀπό τήν Ἀρκαδίαν, πού τρέφει πολλά πρόβατα καί γίδια,
ἐξέπεμψεν ὁ γέρων πατήρ του εἰς τόν ὅμιλον τῶν ἡρώων
τόν Ἀγκαῖον, διά νά λάβῃ μέρος εἰς τό ταξίδι πρός τόν Ἄξεινον πόντον·
αὐτός ποτέ δέν ἐβαλλε εἰς τούς ἰσχυρούς ὤμους του χλαῖναν (ἱμάτιον χειμερινόν),
ἀλλ' ἐφοροῦσε εἰς τά στέρνα του πυκνότριχον δέρμα ἄρκτου.
Κατέφθασε ἐπί πλέον ὁ Ναύπλιος, ὁ ἀγαπητός υἱός τῆς Ἀμυμώνης,
πού τόν ἐγέννησεν, ἀφοῦ ἐπλάγιασε μέ τόν ἐξακουστόν Ἐννοσίγαιον (γαιοσείστην, τόν Ποσειδῶνα)
καί πού ἦτο ἄνθρωπος λαμπρός κατά τήν ἀνδρείαν καί ὅμοιος πρός τούς ἀθανάτους θεούς κατά τό σῶμα.

Ταιναριεύς δ' Εὔφημος ἔβη, Μαλεήτιδος ἄκρης
ἐκπρολιπών αὐλῶνας, ἁλικλύστους τε Θεράπνας.
Ἀγκαῖός τ' ἔμολεν Πλευρώνιος, ὅς ρα πορείας
οὐρανίας ἄστρων ἐδάη, κύκλους τε πλανήτας.
δίζετο γάρ τ' ἐόντα τά τ' ἐσσόμεν' ἀνθρώποισιν.
ἓν δέ Παλαιμόνιος Λέρνου νόθος ἦλυθεν υἱός·
σίνετο δε σφυρά δισσά, πόδας δ' οὐκ ἦεν ἀρηρώς·
τοὔνεκεν Ἡφαίστοιο γόνον καλέεσκον ἅπαντες.
ἦλυθε δ' Ἀλφειοῖο λιπών Πισήτιδας ὄχθας,
Αὐγείης υἱός πυριφεγγέος Ἠελίοιο.
ναί μήν καί δισσοί ὄρπηκες ἀμύμονες ἦκον,
Ἀμφίων κλυτόφημος ἰδ' Ἀστέριος μενεχάρμης,
Παλλήνην προλιπόντ' ἠδ' ἤθεα πατρίδος αἴης.
δισσόν δ' αὖ Βορέου καλόν στάχυν εἰσενόησα,

στίχοι 220-248

οὓς τέκ' Ἐρεχθῆος κούρη κλυτός Ὠρείθυια,
Ἰλισσοῦ παρά χεῦμα θεοῦ φιλότητι μιγεῖσα·
οἳ δή καί ταρσοῖσιν ὑπουατίοις πεπότηντο,
Ζήτης καί Κάλαϊς, δέμας εἴκελοι ἀθανάτοισιν.
αὐτάρ οἱ Πελίαο Φεραιόθεν ἦλυθ' ἄνακτος
(μικρόν κενόν κειμένου)
ἀγχιστεύς. νηός γάρ ἐπ' Ἀργῴης λελίητο
ἄξεινον ποτί Φᾶσιν ἅμ' ἡρώεσσι πελάσσαι.
σύν δέ οἱ ἦλθεν ἔτης Ἡρακλῆος θείοιο
καλός Ὕλας· τῷ δ' οὕπω ὑπέρ δροσεροῖο γενείου
ἀργεννάς ἐρύθηνε παρηΐδας ἀβρός ἴουλος,
ἀλλ' ἔτι κοῦρος ἔην, πολύ δ' ἤνδανεν Ἡρακλῆϊ.

Ἦλθε καί ὁ Εὔφημος ὁ Ταιναριεύς (*ἀπό τό* Ταίναρον), ἀφοῦ ἄφησε τά φαράγγια τοῦ *ἀκρωτηρίου Μαλέα*
καί τάς Θεράπνας, πού κατακλύζονται ἀπό τήν θάλασσαν.
Προσῆλθε καί ὁ Ἀγκαῖος, πού κατήγετο ἀπό τήν Πλευρῶνα, ὁ ὁποῖος ἐγνώριζε τάς πορείας (τάς κινήσεις)
τῶν ἄστρων εἰς τόν οὐρανόν καί τούς κύκλους (τάς κυκλικάς περιφοράς) τῶν πλανητῶν ἀστέρων. Διότι αὐτός ἀνεζήτει να μάθη (ἐκ τῶν ἀστέρων) καί τά παρόντα καί τά μέλλοντα (νά συμβοῦν) εἰς τούς ἀνθρώπους.
Ἦλθεν ἐπίσης καί ὁ Παλαιμόνιος, νόθος υἱός τοῦ Λέρνου· αὐτός εἶχε βλαμμένα καί τά δύο σφυρά του, καί τά πόδια του δέν ἦσαν καλά προσηρμοσμένα (εἰς τό σῶμά του)·
δι' αὐτό καί ὅλοι τόν κάλοῦσαν υἱόν τοῦ Ἡφαίστου.
Ἦλθε καί ὁ Αὐγείας, υἱός τοῦ φεγγοβόλου Ἡλίου, ἀφοῦ ἐγκατέλειψε τάς ὄχθας τοῦ Ἀλφειοῦ εἰς τήν Πισάτιδα.
Ἦλθον ἀκόμη καί δύο λαμπροί νέοι βλαστοί,
ὁ Ἀμφίων δηλαδή ὁ φημισμένος καί ὁ Ἀστέριος ὁ καρτερικός εἰς τάς μάχας.
Αὐτοί οἱ δύο ἄφησαν τήν Πελλήνην καί τούς τόπους τῆς πατρικῆς γῆς.
Ἀντελήφθην ἀφ' ἑτέρου τούς δύο ὡραίους βλαστούς τοῦ Βορέου,

στίχοι 220-248

τούς ὁποίους ἐγέννησεν ἡ Ὠρείθυια, ἡ ἑξακουστή κόρη τοῦ Ἐρεχθέως,
ἀφοῦ ἦλθεν εἰς ἐρωτικήν ἐπαφήν μέ τόν θεόν πλησίον εἰς τό ρεῦμα τοῦ Ἰλισοῦ ποταμοῦ·
αὐτοί δέ πετοῦσαν μέ ὑποπόδια, πού εἶχον κάτω ἀπό τῆς φτέρνες τῶν ποδιῶν των.
ὁ Ζήτης δηλαδή καί ὁ Κάλαϊς, πού ἦσαν ὅμοιοι κατά τό σῶμα μέ τούς ἀθανάτους θεούς.
(μικρόν κενόν τοῦ κειμένου)
Ἦλθεν ἀκόμη ἀπό τάς Φεράς κάποιος συγγενής τοῦ βασιλέως Πελίου· διότι ἐπιθυμοῦσε νά ταξιδεύση ἐπάνω εἰς τό πλοῖον Ἀργώ καί νά προσπελάση εἰς τόν ἀφιλόξενον Φᾶσιν μέ τούς ἄλλους ἥρωας. Καί μαζί μέ αὐτούς ἦλθε καί ὁ συγγενής τοῦ θεϊκοῦ Ἡρακλέους,
ὁ ὡραῖος Ὕλας· εἰς αὐτόν (τόν Ὕλαν) δέν εἶχε ἐμφανισθῆ ἀκόμη ἐπάνω εἰς τάς λευκάς παρειάς του τό ὡραῖον χνούδι,
ἀλλ' ἦτο ἀκόμη παιδί (νεανίσκος), καί ἄρεσε πολύ εἰς τόν Ἡρακλῆ.

Οὗτοι μέν ποτί νῆα καί ἐς λόχον ἠγερέθοντο.
καί ῥά οἱ ἄλλοθεν ἄλλος ἐκέκλετο, ἠδ' ἀγόρευεν.
δεῖπνα δέ πορσύνοντι πολυξείνοιο τραπέζης,
ἥμενοι ἐξείης· πόθεεν δέ τοι ἔργον ἕκαστος.
αὐτάρ ἐπεί σίτοιο ποτοῦ θ' ἅλις ἔλπετο θυμός,
ἀνστάντες ρ' ἅμα πάντες ἀπό ψαμάθοιο βαθείης
ἤϊον, ἔνθα τ' ἔμιμνεν ὑπέρ ψαμάθου ἁλίη νῆυς·
τήν ρα τότ' εἰσορόωντες ἐθάμβεον· αὐτάρ ἔπειτα
Ἄργος ἐφημοσύνῃσι νόου πόρσυνεν ὀχλίζειν,
δουρατέῃσι φάλαγξι καί εὐστρέπτοισι κάλωσιν,
πρυμνόθεν ἀρτήσας, κάλεεν δ' ἐπί μόχθον ἱκάνειν,
πάντας κυδαίνων. οἳ δ' ἐσσυμένως ὑπάκουσαν·
τεύχεα δ' ἐκδύνοντο, περί στέρνοισι δ' ἀνῆπτον
σειραίην μήρινθον. ἐπέβριθεν δ' ἄρ' *ἕκαστος*,
αἶψα θοόν ποτί κῦμα κατειρύσαι εὔλαλον Ἀργώ.
ἡ δέ οἱ ἐγχριμφθεῖσα ποτί ψαμάθῳ βεβάρητο,
αὐαλέοις φύκεσσιν ἐρυκομένη ποτί χέρσον.

στίχοι 249-277

ἡρώων παλάμῃσιν ὑπό στιβαρῇσιν ἀπειθής.
παχνώθη δ' αὖ θυμός Ἰήσονος· αὐτάρ ἔπειτα
νεῦσεν ὀπιπτεύων, ἵνα οἱ θάρσος τε βίην τε
μολπῇ ὑφ' ἡμετέρῃ κεκμηόσιν αἰέν ὀρίνω.
αὐτάρ ἐγώ φόρμιγγα τιτηνάμενος μετά χερσίν
μητρός ἐμῆς ἐκέρασσ' εὐτερπέα κόσμον ἀοιδῆς,
καί οἱ ἀπό στηθέων ὄπα λείριον
ἐξελόχευσα·

Αὐτοί (οἱ Μινύαι καί οἱ ἄλλοι ἥρωες) συνεκεντρώνοντο πρός τό πλοῖον καί ἐσχημάτιζον λόχον (σῶμα).
Καί ἄλλος ἀπό αὐτούς καί ἀπό ἄλλο μέρος (ἄλλος ἀπ' ἐδῶ καί ἄλλος ἀπ' ἐκεῖ) ἔδιδε παραγγελίας καί ὡμιλοῦσε.
Παρεσκευάζαν δέ τά δεῖπνα εἰς τό φιλόξενο τραπέζι,
καθήμενοι κατά σειράν· καί καθένας ἐπιθυμοῦσε νά ἐκτελέσῃ ἕνα ἔργον.
Ὅταν δέ ἐνόμισαν ὅτι ἔφαγαν καί ἔπιαν ἀρκετά,
ἀφοῦ ἐσηκώθησαν (ἀπό τό τραπέζι), ὅλοι συγχρόνως ἐβάδιζον ἀπό τό μέρος τῆς βαθείας ἄμμου
πρός τά ἐκεῖ, ὅπου εὑρίσκετο ὑπεράνω τῆς ἄμμου (ἐπάνω εἰς τήν ἄμμον) τό θαλασσοπόρον πλοῖον.
Βλέποντες τότε (οἱ Μινύαι καί οἱ ἄλλοι ἥρωες) αὐτό τό πλοῖον ἔμενον ἔκθαμβοι· ἔπειτα δέ
ὁ Ἄργος κατά προτροπήν τοῦ νοῦ του ἡτοιμάζετο νά μετακινήσῃ τό πλοῖον,
ἀφοῦ ἐκρέμασε ἀπό τήν πρύμνην του φαλάγγια ξύλινα (ξυλίνους κυλίνδρους) καί καραβόσχοινα καλοστριμμένα.
Προσεκάλει αὐτούς (τούς ἥρωας) νά ἔλθουν εἰς ἐνίσχυσιν τοῦ ἐπιμόχθου ἔργου,
ἀπευθύνων πρός ὅλους ἐπαινετικούς λόγους.
Ἐκεῖνοι δέ ὑπήκουσαν (εἰς τήν πρόσκλησίν του) καί προσήρχοντο τρέχοντες (ἐσπευσμένως). Καί ἀπεγυμνώνοντο ἀπό τά ὅπλα των καί (ἀντί αὐτῶν) προσέδεναν εἰς τά στέρνα των σχοινιά πλεγμένα· καί ὁ καθένας ἐπεδίδετο εἰς τό ἔργον μέ ὅλην τήν δύναμίν του,
καί προσεπάθουν ὅλοι νά σύρουν (νά τραβήξουν) ταχέως ἀπό τήν ξηράν εἰς τό γρήγορον κῦμα τήν Ἀργώ μέ την ὡραίαν φωνήν.
Ἐκείνη ὅμως (ἡ Ἀργώ), εἶχε καθίσει εἰς τήν ἄμμον λόγῳ τοῦ βάρους της.
καί ἠμποδίζετο ἀπό τά ξηραμμένα φύκια νά πέσῃ εἰς τήν θάλασσαν.

στίχοι 249-277

καί δέν ὑπήκουε εἰς τά στιβαρά χέρια τῶν ἡρώων.
Τότε ἡ καρδιά τοῦ Ἰάσονος ἐπάγωσε· καί ἔπειτα
βλέπων πρός τούς γύρω του μοῦ ἔκαμε νεῦμα, διά νά διεγείρω συνεχῶς θάρρος εἰς τούς ἥρωας καί νά δώσω μέ τό τραγούδι μου δύναμιν
εἰς αὐτούς, πού εἶχον καταβληθῇ ἀπό τούς κόπους (πού εἶχον κουρασθῇ). Ἐγώ δέ, ἀφοῦ ἐτέντωσα τήν φόρμιγγα ἀνάμεσα στά χέρια μου, τούς ἐκέρασα τό τερπνόν τραγούδι τῆς μητέρας μου καί ἀπό τά στήθη μου ἐξέπεμψα

ἔξοχον ἡρώων Μινυήϊον αἷμα γενέθλης,
εἰθ' ἄγε νῦν στερεοῖσιν ὑπό στέρνοισι κάλωας
βρίσαθ' ὁμορροθέοντες, ἐρείσατε δ' ἴχνια γαίῃ,
ταρσοῖσιν ποδός ἄκρον ὑπερβλήδην τανύσαντες·
καί χαροπόν ποτί χεῦμα γεγηθότες ἔλξατε νῆα.
Ἀργώ, πεύκῃσίν τ' ἠδέ δρυσί γομφωθεῖσα,
ἄϊ' ἐμῆς ἑνοπῆς· καί γάρ πάρος ἔκλυες ἤδη
ἡνίκα δένδρε' ἔθελγον ἐν ὑλήεντι κολώνῃ,
πέτρας τ' ἠλιβάτους, καί μοι κατά κόμπον ἔβαινον
οὔρε' ἀποπρολιποῦσαι· ἐπίσπεο δ' αὖτε θαλάσσης
Παρθενίης ἀτραπούς· σπέρχευ δ' ἐπί Φᾶσιν ἀμείβειν,
ἠμετέρῃ πίσυνος κιθάρῃ καί θεσκέλῳ ὁμφῇ.
Δή τότ' ἐπιβρομέουσα Τομαριάς ἔκλυε φηγός,
ἣν οἱ ὑποτροπίην Ἄργος θέτο νηῒ μελαίνῃ
Παλλάδος ἐννεσίῃσιν· ἀνηέρθη δέ μάλ' ὦκα,
δούρατ' ἐλαφρίζουσα, θοή δ' ὠλίσθανε πόντῳ·
καί οἱ ἐπειγομένῃ θαμινάς ἐκέδασσε φάλαγγας,
αἳ οἱ ὑπό τρόπιν εἶντο μιῆς σχοίνοιο ταθεῖσαι.
ἐν δ' ἄρ' ἔβη λιμένας, χαροπόν δ' ἀνεχάσσατο κῦμα·
θῖνες δ' ἀμφέκλυσθεν· ἐγήθει δε φρέν' Ἰήσων,
ἅλτο δ' ἔσω νεός Ἄργος, ἐφέσπετο δ' ἀγχόθι Τῖφυς
καί οἱ ἐπαρτέα θῆκαν, ἀρηρότα πορσύνοντες,

στίχοι 278-306

ἱστόν τ' ἠδ' ὀθόνας· ἔπι δ' αὖτ' οἴηκας ἔδησαν,
πρυμνόθεν ἀρτήσαντες, ἐπεσφίγξαντο δ' ἱμᾶσιν.
αὐτάρ ἔπειθ' ἑκάτερθεν ἐρετμούς

(ἔβγαλα) τρυφεράν φωνήν (καί τούς εἶπα):
Ὦ σεῖς *πού ἔχετε τό ὑπέροχον* αἷμα τῆς γενεᾶς τῶν Μινυῶν ἡρώων,
ἐμπρός ἀναλάβατε τώρα εἰς τά στερεά στέρνα σας τά βαρειά καραβόσχοινα
συνεργαζόμενοι μεταξύ σας, στηρίξατε εἰς τήν γῆν τά πέλματα τῶν ποδιῶν σας,
καί τεντώσατε εἰς ὑπερβολικόν βαθμόν τά ἄκρα τά ἐπάνω ἀπό τά πέλματα·
καί καθελκύσατε χαρούμενοι τό πλοῖον εἰς τά γλαυκά (γαλανά) νερά.
Καί σύ ὦ Ἀργώ, πού κατεσκευάσθης μέ τήν *συναρμογήν ξύλων ἀπό πεῦκα καί βαλανιδιές*,
ἄκουσε τώρα τήν ἰδικήν μου φωνήν· διότι ἤδη καί προτύτερα μέ ἄκουες,
ὅταν ἐμάγευα εἰς τούς δασώδεις λόφους τά δένδρα καί τούς ἀποκρήμνους βράχους, οἱ ὁποῖοι πρός χάριν μου κατέβαινον ἐγκατελείποντες τά βουνά μέ πάταγον· καί ἀκολούθησε πάλιν τούς δρόμους τῆς Παρθενίας θαλάσσης·
καί σπεῦσε νά πλεύσῃς πρός τόν Φᾶσιν,
καί νά ἔχῃς πεποίθησιν εἰς τήν κιθάραν μου καί εἰς τήν θεϊκήν φωνήν μου.
Τότε λοιπόν ἀναδίδουσα ἤχον μέ ἄκουσε ἡ ἀπό τό ὄρος Τόμαρον προερχομένη φηγός (βαλανιδιά), τήν ὁποίαν ἐναλλάξ ἔθεσεν εἰς τό μαῦρον πλοῖον ὁ Ἄργος
κατά παραγγελίαν τῆς Παλλάδος· καί ἀνυψώθη πολύ ταχέως καί ἔκαμνε ἐλαφρά τά ξύλα καί γρήγορα ἐγλυστροῦσε εἰς τήν θάλασσαν·
καί μέ σπουδήν διέσπασε τά πυκνά φαλάγγια (τούς πολλούς ξυλίνους κυλίνδρους),
τά ὁποῖα εἶχαν τοποθετηθῆ κάτω ἀπό τήν καρίναν τοῦ πλοίου συνδεδεμένα μέ ἕνα σχοινί.
Εἰσῆλθε *δέ τό πλοῖον εἰς τόν λιμένα*, καί τότε τό γλαυκόν κῦμα ὑπεχώρησε·
καί ἡ ἀμμώδης ἀκτή κατεκλύσθη ἀπό τήν θάλασσαν· καί ὁ Ἰάσων ἔχαιρε μέ τήν καρδιά του·
ὁ δέ Ἄργος ἐπήδησε μέσα εἰς τό πλοῖον, καί ἀκολουθοῦσε ἀπό κοντά του ὁ Τῖφυς,
καί ἑτοίμασαν τό πλοῖον, παρασκευάζοντες ὅσα ἔπρεπε νά γίνουν,

στίχοι 278-306

δηλαδή τό κατάρτι καί τά πανιά· ἔδεσαν δέ πάλι τά πηδάλια,
ἀναρτήσαντες αὐτά ἀπό τήν πρύμνην, καί τά ἔσφιγξαν μέ λουριά.
Ἔπειτα ἅπλωσαν (ὁ Ἄργος καί ὁ Τῖφυς) τά

ἡπλώσαντο,
εἰσβαίνειν δ᾽ ἐκέλευον ἐπειγομένους Μινύηας·
τοῖσιν δ᾽ Αἰσονίδης ἔπεα πτερόεντα προσηύδα·

Κέκλυτέ μευ, βασιλῆες ἀμύμονες· οὐ γάρ ἔμοιγε
ἀνδάνει ἐν παπίδεσσιν ἀρειοτέροισιν ἀνάσσειν.
ὑμεῖς δ᾽, ὄντινά οἱ κραδίη θυμός τε μενοινᾷ,
ἡγεμόνα στήσασθε, καί ᾧ πέρι πάντα μελήσει
σημαίνειν, ὅ τι οἱ ῥέξει ἔπος ἠδέ καί ἔργον,
πόντον ἐπιπλώουσιν, ἀφικομένοις τ᾽ ἐπί γαῖαν,
εἴτε καί ἐς Κόλχους, ἤ ἐς ἀλλοδαπούς ἀνθρώπους.
καί γάρ δή μοῦνον σύν ἐμοί πολέες τε καί ἐσθλοί,
οἵ ρα καί ἀθανάτου ρίζης γένος εὐχετάασθε,
ξυνόν ἀνηρείψασθε πόνον, κλέος ὄφρ᾽ ἂν ἄρησθε.
ἀλλ᾽ οὔ οἱ κάρτιστον ἀρειότερόν τε γενέσθαι
Ἡρακλῆος ἄνακτος, ὀΐομαι· ἴστε καί αὐτοί.
Ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἐπήνεον ἔν δ᾽ ἄρα φωνῇ
λαός ἐπερρόθεεν, Μινύαις ἔπι κοίρανον εἶναι
Ἀλκείδην, ὃς πᾶσι μέγ᾽ ἔξοχος ἦεν ἑταίροις.
ἀλλ᾽ οὔ πεῖθον ἄνακτα πεπνυμένον, ὅς ῥά οἱ ἤδη
Ἥρης ἐννεσίῃσι τετιμένον Αἴσονος υἱόν,
ἡ δή οἱ κλέος ἐσθλόν ἐπ᾽ ἐσσομένοισιν ὄπαζεν·
ὃς ῥα οἱ αὐτός ἔνισπεν, Ἰήσονα κοίρανον εἶναι.
πεντήκοντ᾽ ἐρέτῃσιν, ἀνά τραφερήν τε καί ὑγρήν.
καί τότε δή μάλα πάντες ἐπήνεον, ὡς ἐκέλευεν
Ἡρακλέης, καί θῆκαν Ἰήσονα κοίρανον εἶναι.
Ἧμος δ᾽ Ἠέλιός οἱ, ἀπείριτον κουπιά καί ἀπό τάς δύο πλευράς τοῦ πλοίου, καί προέτρεπον τούς Μινύας, οἱ ὁποῖοι ἐβιάζοντο (νά φύγουν), νά εἰσέλθουν εἰς τό πλοῖον.
Καί πρός αὐτούς ἀπευθυνόμενος ὁ υἱός τοῦ Αἴσονος τούς ἔλεγε τούς ἑξῆς πτερωτούς λόγους:
Ἀκούσατέ με, ὑπέροχοι βασιλεῖς· διότι δέν εἶναι ἀρεστόν
εἰς τόν νοῦν μου νά εἶμαι ἄρχων ἀνδρῶν, πού εἶναι ἰσχυρότεροι ἀπό ἐμέ.
Δι᾽ αὐτό ἐσεῖς ἐγκαταστήσατε ἀρχηγόν ὁποιονδήποτε ἐπιθυμεῖ ἡ καρδιά καί ἡ ψυχή σας, καί ὁ ὁποῖος θά ἔχῃ τήν μέριμναν
νά ἐπισημαίνῃ τά πάντα, ποῖον λόγον θά εἴπῃ καί ποῖον ἔργον θά ἐκτελέσῃ,
ὅταν θά διαπλέωμεν τήν θάλασσαν καί ὅταν θά φθάσωμεν εἰς τήν ξηράν,
κατά τήν προσέγγισίν μας εἴτε εἰς τήν χώραν τῶν Κόλχων ἤ εἰς τήν χώραν ἄλλων ἀλλοεθνῶν ἀνθρώπων.
Καί διότι βεβαίως ἓν μόνον κοινόν ἐπίμοχθον ἔργον ἀνελάβατε μαζί μέ ἐμέ (νά φέρετε εἰς πέρας), διά νά ἀποκτήσετε δόξαν,
σεῖς οἱ πολλοί καί καλοί, οἱ ὁποῖοι μάλιστα καυχᾶσθε, ὅτι ἡ γενεά σας ἔχει τήν ρίζαν της ἀθάνατον (ὅτι προέρχεσθε ἀπό τούς ἀθανάτους θεούς). Ἀλλά δέν νομίζω, ὅτι εἶναι πολύ ὠφέλιμον νά γίνω ἐγώ ἰσχυρότερος
ἀπό τόν ἄνακτα Ἡρακλῆ· τόν γνωρίζετε καί σεῖς οἱ ἴδιοι.
Αὐτά τά λόγια εἶπεν (ὁ Ἰάσων), καί ὅλοι βεβαίως τά ἐπεδοκίμαζαν, διά φωνῶν δέ
τό πλῆθος τῶν ἡρώων ἐπικροτοῦσε τήν πρότασίν του νά εἶναι ἀρχηγός εἰς τούς Μινύας
ὁ Ἀλκείδης, ὁ ὁποῖος ὑπερεῖχε μεγάλως μεταξύ ὅλων τῶν συντρόφων. Δέν ἔπειθαν ὅμως τόν συνετόν ἄνακτα, πού ἐγνώριζε τόν τετιμημένον υἱόν τοῦ Αἴσονος κατά τάς εἰσηγήσεις τῆς Ἥρας,
ἡ ὁποία τοῦ παρεσκεύαζε καλήν φήμην εἰς τούς μεταγενεστέρους ἀνθρώπους.
Αὐτός λοιπόν ἐπρότεινε να εἶναι ὁ Ἰάσων ἀρχηγός
εἰς τούς πεντήκοντα κωπηλάτας καί κατά ξηράν καί κατά θάλασσαν.
Καί τότε λοιπόν ὅλοι ἐπεδοκίμαζον πολύ, καθώς τούς προέτρεψε (νά πράξουν)
ὁ Ἡρακλῆς, καί ὥρισαν νά εἶναι ἀρχηγός ὁ Ἰάσων. Ὅταν δέ ὁ Ἥλιος, που διασχίζει τόν

αἰθέρα τέμνων,
ἵπποις ὠκυπόδεσσι κελαινήν ἔντυε νύκτα,

στίχοι 307-334

τῆμος ἐνὶ παπίδεσσιν ἐμήτιεν Αἴσονος υἱός
πίστιν ἐφ' ἡρώεσσι καί ὅρκια συνθεσιάων
θέσθαι, ὄφρ' ἔμπεδα πάντα φυλασσόμενοι πεπίθοιντο·
καί τότε τοι, Μουσαῖε, φίλον τέκος Ἀντιοφήμου,
πορσῦναι μ' ἐκέλευε θοῶς ἱερήϊα καλά.
αὐτάρ ἐγώ ψαφαρῇσιν ἐπ' ἠϊόνεσσιν ἐνεῖκα
κᾶλα, τά τ' ἐκ δρυός ἐστι φερεσβίου· ἐν δ' ἄρ' ὕπερθεν
πλεκτῷ παρκατέθηκα θεοῖς ἐπινήχυτα δῶρα.
καί τότε δή κραντῆρα βοῶν περιμηκέα ταῦρον
σφάζον, ἀνακλίνας κεφαλήν εἰς αἰθέρα δῖαν,
ζωοταμών· πυρί δ' αἷμα πέριξ χέον ἔνθα καί ἔνθα.
αὐτάρ ἐπί κραδίην ἐρύσας ποπάνοισιν ἔθηκα,
λείψας ὑγρόν ἔλαιον, ἐπ' αὐτῷ δέ γλάγος ἄμνης.
ἥρωας δ' ἐκέλευσα περισταδόν ἀμφιχυθέντας
δούρατ' ἐπαμπήξασθαι ἰδ' ἄορα κωπήεντα,
βύρσῃ τε σπλάγχνοισι τ' ἐρειδομένους παλάμῃσιν.
θῆκα δ' ἄρ' ἐν μέσσῳ τεῦχος κυκεῶνος ἐρείσας
ὀστράκεον, τῷ πάντα περιφραδέως ἐμέμικτο,
Δήμητρος μέν πρῶτα φερέσβιος ἀλφίτου ἀκτή,
αἷμα δέ οἱ ταύροιο, θαλάσσης θ' ἁλμυρόν ὕδωρ.
στέψασθαι δ' ἐκέλευσα κύκλους ἐρόεντας ἐλαίης·
καί τότε χρυσείην φιάλην χείρεσσιν ἐμῇσιν
ἀμπλήσας κυκεῶνος, ἐφεξείης ἐπένειμα,

ἀπέραντον αἰθέρα
μέ τούς ταχύποδας ἵππους του, παρεσκεύαζε τήν μαύρην νύκτα,

στίχοι 307-334

τότε ὁ υἱός τοῦ Αἴσονος ἐσκέφθη
νά θέσῃ εἰς τούς ἥρωας (νά πάρῃ ἀπό τούς ἥρωας) ἐγγύησιν καί ὅρκους διά τάς συμφωνίας,
διά νά ἔχουν ἐμπιστοσύνην καί νά διαφυλάσσουν σταθερά ὅλα τά συμφωνηθέντα.
Καί τότε, Μουσαῖε, προσφιλές τέκνον τοῦ Ἀντιοφήμου,
μέ παρεκάλεσε νά ἑτοιμάσω ταχέως ὡραῖα ζῶα πρός θυσίαν.
Ἐγώ δέ μετέφερα εἰς τήν ἀμμώδη παραλίαν ξηρά ξύλα, τά ὁποῖα προέρχονται ἀπό τήν βαλανιδιά τήν ζωοδότειρα. Ὑπεράνω δέ μέσα εἰς ἕνα πλεκτόν σκεῦος κατέθεσα πλούσια δῶρα διά τούς θεούς.
Καί τότε βέβαια ἔσφαξα τόν ἐπί κεφαλῆς τῶν βοδιῶν ὑψηλόν ταῦρον,
ἀφοῦ ἔκλινα τό κεφάλι του πρός τά ἐπάνω εἰς τόν θεῖον αἰθέρα,
καί ἐτεμάχισα τό ζῶον· καί γύρω ἀπό τήν φωτιά ἔχυνα αἷμα ἐδῶ καί ἐκεῖ.
Ἔπειτα ἀφοῦ ἀπέσπασα τήν καρδιά τοῦ ταύρου ἔθεσα ἐπάνω εἰς αὐτήν πόπανα (πλατειά ζυμαρικά)
καί τήν ἄλειψα μέ ρευστόν ἔλαιον καί ἐπάνω εἰς αὐτό ἔριξα γάλα ἀμνάδος.
Παρεκέλευσα δέ τούς ἥρωας, ἀφοῦ περιχυθοῦν (ἀναπτυχθοῦν) κυκλικῶς,
νά ἐμπήξουν εἰς τήν γῆν τά δόρατά των καί τά ξίφη των μέ τήν λαβήν
καί νά στηρίξουν τάς παλάμας των (τά χέρια των) ἐπάνω εἰς τό δέρμα καί εἰς τά σπλάγχνα τοῦ ταύρου.
Ἐτοποθέτησα ἔπειτα, ἀφοῦ τό ἐστήριξα, εἰς τό μέσον αὐτῶν ἕνα ἀγγεῖον ἀπό ὄστρακον, πού περιεῖχε κυκεῶνα (μεῖγμα ἀπό κριθάλευρο κ.ἄ.),
ἐντός τοῦ ὁποίου εἶχον ἀναμειχθῆ ὅλα μέ πολλήν ἐπιμέλειαν·
δηλαδή κατά πρῶτον μέν τῆς Δήμητρος τό κριθάλευρο, πού μᾶς δίδει ζωήν,
αἷμα δέ ἀπό τόν ταῦρον καί ἁλμυρό νερό ἀπό τήν θάλασσαν,
καί τούς προέτρεψα νά στεφανωθοῦν μέ θελκτικούς στεφάνους ἀπό κλάδους ἐλιᾶς·
καί τότε ἀφοῦ ἐπῆρα εἰς τά χέρια μου χρυσῆν φιάλην
τήν ἐγέμισα μέ κυκεῶνα καί τόν διεμοίρασα κατά σειράν εἰς ὅλους,

γεύειν ἄνδρα ἕκαστον ἐρισθενέων βασιλήων.
πυρκαϊῇ δ᾽ ἐκέλευον Ἰήσονα λαμπάδα θέσθαι
πεύκης ἀζαλέης· ὕπο δ᾽ ἔδραμε θεσπεσίη φλόξ.
δή τότ᾽ ἐγώ πρός χεῦμα πολυφλοίσβοιο θαλάσσης
χεῖρας ἐπαντείνας τάδ᾽ ἀπό γλώσσης ἀγόρευσα·

διά νά τόν γευθῇ καθένας ἀπό τούς πολυδυνάμους βασιλεῖς.
Προέτρεψα δέ τόν Ἰάσονα ν᾽ ἀνάψῃ λαμπάδα βάζοντας φωτιά εἰς ἕνα ξηρόν πεῦκον· καί ἀνεπήδησεν ἀπό αὐτήν ἐξαισία φλόγα. Τότε λοιπόν ἐγώ, ἀφοῦ ἐξέτεινα τά χέρια μου ἐπάνω ἀπό τά κύματα τῆς πολυταράχου θαλάσσης, εἶπα τά ἑξῆς:

στίχοι 335-361

Ὠκεανοῦ μεδέοντες ἁλικλύστοιό τε πόντου
ἐμβύθιοι μάκαρες, καί ὅσοι ψαμαθώδεας ἀκτάς
ναίεθ᾽ ἁλικροκάλους, καί Τηθύος ἔσχατον ὕδωρ.
Νηρέα μέν πρώτιστα καλῶ πρέσβιστον ἁπάντων,
ἄμμιγα παντήκοντα κόραις πάσῃσιν ἐρανναῖς·
γλαυκήν τ᾽ ἰχθυόεσσαν, ἀπείριτον Ἀμφιτρίτην,
Πρωτέα καί Φόρκυνα καί εὐρυβίην Τρίτωνα,
λαιψηρούς τ᾽ ἀνέμους, Αὔραις μίγα χρυσεοτάρσοις,
ἄστρά τε τηλόσε φαντά, καί ἀχλύν Νυκτός ἐρεμνῆς,
αὐγήν τ᾽ Ἠελίοιο θοῶν προποδηγέτιν ἵππων,
δαίμονας εἰναλίους τε μιγαζομένους ἥρωσιν,
ἀκταίους τε θεούς, ποταμῶν θ᾽ ἁλιμυρέα ῥεῖθρα·
αὐτόν τε Κρονίδην σεισίχθονα κυανοχαίτην,
κύματος ἐκπροθορόντα μολεῖν ἐπιτάρροθον ὅρκων.
ὄφρα μέν οὖν ἐπίκουροι Ἰήσονος ἔμπεδον αἰεί
μίμνωμεν προφρόνως ξυνῶν ἐπαρηγόνες ἄθλων,
ζωοί νοστήσειμεν· ἑά πρός δώμαθ᾽ ἕκαστος·
ὅς δέ κε συνθεσίας δηλήσεται, οὐκ ἀλεγίζων
ὅρκου, ὑπερβασίῃ - τούτου δ᾽ ἐπιμάρτυροι ἔστων
ἰθύντειρα Δίκη καί Ἐριννύες

στίχοι 335-361

Ὦ ἄρχοντες τοῦ Ὠκεανοῦ, θεοί εὐδαίμονες, πού διαβιώνετε εἰς τόν βυθόν τῆς πολυκυμάντου θαλάσσης,
καί ὅσοι κατοικεῖτε εἰς τάς ἀμμώδεις ἀκτάς μέ τά θαλασσινά κροκάλια καί ὅσοι εἰς τά βαθύτατα νερά τῆς Τηθύος, ἐσᾶς ἐπικαλοῦμαι.
Καί πρῶτα-πρῶτα ἐπικαλοῦμαι τόν Νηρέα, πού εἶναι ὁ πρεσβύτερος ἀπό ὅλους,
μαζί μέ ὅλας ταῖς πεντήκοντα ἀξιεράστους θυγατέρας του·
ἐπίσης τήν λάμπουσαν καί πού ἔχει πολλά ψάρια, τήν ἀπέραντον Ἀμφιτρίτην,
τόν Πρωτέα καί τόν Φόρκυνα καί τόν εἰς ἐκτεταμένον κράτος ἰσχύοντα Τρίτωνα,
καί τούς ταχυκινήτους ἀνέμους ἀναμεμειγμένους, μέ τάς Αὔρας, πού ἔχουν χρυσᾶς πτέρυγας,
καί τά ἄστρα, πού φέγγουν μακράν, καί τήν ὁμίχλην τῆς μαύρης Νυκτός,
καί τήν αὐγήν, πού εἶναι ἡ προπορευομένη ὁδηγός τῶν ταχέων ἵππων τοῦ Ἡλίου,
καί τούς θαλασσινούς δαίμονας, οἱ ὁποῖοι συμμειγνύονται μέ τούς ἥρωας, καί τούς παρακτίους θεούς καί τῶν ποταμῶν τά ρεύματα, πού χύνονται εἰς τήν θάλασσαν·
καί αὐτόν τόν υἱόν τοῦ Κρόνου, τόν κυανοχαίτην (τόν Ποσειδῶνα), πού σείει τήν γῆν,
τόν ἐπικαλοῦμαι, ἀφοῦ ἀναπηδήσει ἀπό τό κῦμα, νά ἔλθῃ ἐνισχυτής τῶν ὅρκων,
ἀφ᾽ ἑνός μέν διά νά παραμένωμεν σταθερῶς βοηθοί τοῦ Ἰάσονος, συμμετέχοντες προθύμως εἰς τούς κοινούς ἀγῶνας,
καί ἀφ᾽ ἑτέρου νά εὐχηθῶμεν νά ἐπανακάμψῃ καθένας ἀπό ἡμᾶς ζωντανός εἰς τήν πατρίδα του.
Ἐκεῖνος ὅμως, ὁ ὁποῖος θά παραβῇ τάς συμφωνίας, παραμελῶν ἐξ ἀσεβείας
τόν ὅρκον (πού θά δώσωμεν), κατά τούτου μάρτυρες (καί τιμωροί) ἂς εἶναι
ἡ Δίκη, πού εἶναι ὁδηγός, καί αἱ Ἐριννύες, αι

αἰνοδότειραι.
"Ως ἐφάμην. οἱ δ' αὖτις ὁμοφροσύνῃ κατένευσαν,
ὅρκια δειμαίνοντες, ἐσημήναντο δὲ χερσίν.
αὐτάρ ἐπεί ρ' ὅμοσάν τε τελεύτησάν τε τὸν ὅρκον,
δὴ τότε νηὸς ἐῆς κοῖλον κύτος εἰσεπέρησαν
πάντες ἐφεξείης, ὑπὸ δὲ ζυγά τεύχε' ἔθεντο,
χεῖρας ἐρετμώσαντες. ἐκέκλετο δ' αὐτόθι Τίφυς,
ἑκταδίοις ὅπλοις δῆσαι πάρα κλίμακα μακρήν,

στίχοι 362-390

ἱστία δ' ἁπλῶσαι, λιμένος δ' ἐκ πείσματ' ἀρέυθαι.
καί τότε δὴ λιγύν οὖρον ἐπιπροέηκε νέεσθαι
"Ηρη Ζηνός ἄκοιτις, ἐπείγετο δ' ἐς πλόον Ἀργώ.
οἳ δ' ἄρ' ἐπ' εἰρεσίην ἔπεχον χεῖράς τε νόον τε,
ἄκμητοι βασιλῆες, ἐτέμνετο δ' ἄσπετος ἅλμη,
ἀφροῦ ἄμ' οἰδαίνοντος ὑπὸ τρόπιν ἔνθα καί ἔνθα.
τῆμος δ' ἱερὸς ὄρθρος ἀπ' Ὠκεανοῖο ροάων
ἀντολίας ἤνοιγεν, ἐφέσπετο δ' ἠριγένεια
ἠδύ φάος θνητοῖσι καί ἀθανάτοισι φέρουσα·
καί τότε δὴ σκοπιαί τε καί ἠνεμόεσσα κολώνη
Πηλίου ὑλήεντος ἀπ' ἠϊόνος κατέφαινεν.
Τίφυς δ' ἀμπαύσας δολιχῆς οἰήϊα νηός,
τυτθόν ὑπ' εἰρεσίῃσιν ἐκέκλετο κῦμα χαράσσειν·
καί ρα θοῶς ἀκτῆσιν ὑπέδραμον· ἐκ δ' ἄρα νηός
κλίμακα, δουρατέην λιμένων ἔντοσθε χάλασσαν,
ἐκ δ' ἔβαν ἥρωες Μινύαι, παύσαντο δὲ μόχθου.
τοῖσι δὲ μύθων ἦρχεν ὁμιλαδὸν ἱππότα Πηλεύς·
Ὦ φίλοι, ἀθρεῖτε σκοπιῆς προὔχοντα ὁππόϊοι δίδουν τά δεινά.
Ἔτσι ἐμίλησα (πρός τούς ἥρωας), ἐκεῖνοι δέ ἐξ ἄλλου ὁμοφώνως ἐπεδοκίμασαν τά λόγια μου διά νεύματος,
ἐπειδή ἐφοβοῦντο τούς ὅρκους, καί τά ἐπεσήμαναν (τά ἐπεβεβαίωσαν) μέ τά χέρια των.
Ἔπειτα δε, ἀφοῦ ὡρκίσθησαν καί ἐτελείωσαν τόν ὅρκον των, τότε πλέον ἐπέρασαν ὅλοι κατά σειράν μέσα εἰς τό κοῖλον κύτος (εἰς τό ἀμπάρι) τοῦ πλοίου,
καί κάτω ἀπό τά ζυγά (τά καθίσματα) ἐτοποθέτησαν τά ὅπλα των καί ἔλαβον εἰς τά χέρια των τά κουπιά. Ἐνῶ δέ εὑρίσκοντο εἰς αὐτό τό μέρος, τούς παρήγγειλεν ὁ Τίφυς νά δέσουν τά μεγάλα σκεύη πλησίον τῆς μακρᾶς κλίμακος,

στίχοι 362-390

καί ν' ἁπλώσουν τά ἱστία
(τά πανιά) καί νά σηκώσουν τά παλαμάρια ἀπό τόν λιμένα.
Καί τότε ἡ Ἥρα, ἡ σύζυγος τοῦ Διός, ἐξαπέλυσε (ἄφησε να πνεύσῃ) λιγυρόν οὖριον ἄνεμον διά νά ἀποπλεύσουν,
ἡ δέ Ἀργώ ἔσπευδεν εἰς τό ταξίδι της.
Ἐκεῖνοι δέ εἶχον τά χέρια των καί τόν νοῦν των εἰς τήν κωπηλασίαν,
ἐκεῖνοι οἱ ἀκατάβλητοι βασιλεῖς, διέσχιζον τό ἀπειροπληθές θαλασσινό νερό,
ἐνῶ συνάμα ἐφούσκωνε ὁ ἀφρός τῶν κυμάτων κάτω ἀπό τήν καρίνα τοῦ πλοίου ἐδῶ καί ἐκεῖ.
Τήν ὥραν ἐκείνην ὁ ἱερός ὄρθρος
διήνοιγεν ἀπό τά ρεύματα τοῦ Ὠκεανοῦ
τήν ἀνατολήν καί ἀκολουθοῦσε ἡ αὐγή,
πού φέρει τό γλυκύ φῶς εἰς τούς θνητούς ἀνθρώπους καί εἰς τούς ἀθανάτους θεούς.
Καί τότε ἀκριβῶς κατεφαίνοντο ἀπό τήν ἀκτήν αἱ κορυφαί καί τό ἀνεμόδαρτο ὕψωμα τοῦ δασοσκεποῦς Πηλίου. Ὁ δέ Τίφυς, ἀφοῦ ἄφησε τό πηδάλιον τοῦ μεγάλου πλοίου,
τούς ἔδωσεν ἐντολήν νά χαρακώσουν (νά αὐλακώσουν) ἐπί ὀλίγην ὥραν τό κῦμα (τήν θάλασσαν) κάτω ἀπό τά κουπιά των·
καί ταχέως προσέδραμον (προσήγγισαν) εἰς τήν ἀκτήν· καί κατεβίβασαν ἀπό τό πλοῖον τήν ξυλίνην κλίμακα ἐντός τοῦ λιμένος
καί ἐξῆλθον εἰς τήν ξηράν οἱ ἥρωες Μινύαι καί ἀνεπαύθησαν ἀπό τόν μόχθον.
Πρός αὐτούς δέ, πού εἶχον συγκεντρωθῆ καθ' ὁμίλους, ἤρχισε νά ὁμιλῆ ὁ ἱππότης Πηλεύς (καί νά τούς λέγῃ τά ἑξῆς):
Φίλοι μου, βλέπετε τόν προεξέχοντα λόφον τῆς κορυφῆς,

κολωνόν,
μέσσῳ ἐνί πρηῶνι κατάσκιον, ἔνθα τε Χείρων
ναίειν ἐνί σπήλυγγι, δικαιότατος Κενταύρων,
οἵ τράφεν ἄν Φολόην, Πίνδου τ᾽ αἰπεινά κάρηνα,
ᾧ ρα δικασπολίη μέλεται καί ἀκέσματα νούσων·
ἄλλοτε δ᾽ αὖ Φοίβου κιθάρην μετά χερσίν ἀράσσων,
ἤ λιγυρήν φόρμιγγα χελυκλόνον Ἑρμάωνος,
πᾶσι περικτιόνεσσι δικασπολίας ἀναφαίνει.
τῷ ρα καί ἡμέτερον κοῦρον Θέτις ἀργυρόπεζα,
νήπιον, ἀρτιγένεθλον, ἐν ἀγκαλίδεσσι λαβοῦσα,
Πήλιον εἰνοσίφυλλον ἔβη, Χείρωνί τ᾽ ἔδωκεν
εὖ καί ἐπισταμένως ἀγαπαζέμεν ἠδ᾽ ἀτιτάλλειν·

στίχοι 391-417

ὄν δή μοι πόθος ἐστί περί φρένα θηήσασθαι.
ἀλλά, φίλοι, πελάσωμεν ἐπί σπέος, ὄφρα ἴδωμεν
ἔξιν παιδός ἐμοῖο, καί ἤθεσιν οἷσι κέκασται.
Ὣς εἰπών ἐξῖκεν ἀταρπιτόν, οἱ δ᾽ ἐπόμεσθα·
αὐτάρ ἔπειτ᾽ αὐλήν εἰσήλθομεν ἡεροειδῆ.
καί οἱ κεκλιμένος μέν ἐπ᾽ οὐδαίοιο χαμεύνης
κεῖτο μέγας Κένταυρος, ἀπηρήρειστο δέ πέτρῃ,
ἱππείῃσιν ὀπλῇσι, τανυσσάμενος θοά κῶλα.
ἀγχοῦ δ᾽ ἱστάμενος Θέτιδος καί Πηλέος υἱός
χερσί λύρην ἤρασσε, φρένας δ᾽ ἐπετέρπετο Χείρων.
ἀλλ᾽ ὅτε δή ρ᾽ ἄθρησεν ἀγακλειτούς βασιλῆας,
ἀσπασίως ἀνόρουσε, κύσεν δ᾽ ἄρα φῶτα ἕκαστον
δαῖτα δε πόρσυνεν· μέθυ δ᾽ ἀμφιφορεῦσι κομίσσας
ὁ ὁποῖος εἶναι κατάσκιος εἰς τό μέσον τοῦ βράχου, ὅπου ἐντός σπηλαίου κατοικεῖ ὁ Χείρων,
πού εἶναι ὁ περισσότερον δίκαιος ἀπό ὅλους τούς Κενταύρους, οἱ ὁποῖοι ἀνετράφησαν εἰς τήν Φολόην καί εἰς τάς ἀποκρήμνους κορυφάς τῆς Πίνδου.
Αὐτός (ὁ Χείρων) ἔχει τήν φροντίδα διά τήν δικαιοσύνην καί διά νά παρέχῃ φάρμακα πρός θεραπείαν τῶν ἀσθενῶν·
ἄλλοτε πάλιν κρούων εἰς τά χέρια του τήν κιθάραν τοῦ Φοίβου ἤ τήν λιγυρόφωνον (ὀξύφωνον) φόρμιγγα τοῦ Ἑρμοῦ τήν φκιασμένη ἀπό ὄστρακον χελώνης,
φανερώνει εἰς ὅλους τούς περιοίκους δίκαια ἔργα.
Διά τοῦτο βέβαια ἡ Θέτις, πού ἔχει ὡραῖα πόδια, παρέλαβε στήν ἀγκαλιά της καί τόν ἰδικόν μου υἱόν,
ἐνῶ ἦτο νήπιον, πού εἶχε γεννηθῇ πρός ὀλίγου,
καί ἀνέβη εἰς τό Πήλιον, τό κινησίφυλλο βουνό, καί τόν παρέδωσεν εἰς τόν Χείρωνα,
διά νά τόν περιβάλλῃ μέ ἀγάπην καί νά τόν ἀνατρέφῃ καλῶς καί μέ ἐπιμέλεια.

στίχοι 391-417

Τοῦτον (τόν υἱόν μου) ἐπιθυμῶ περιπαθῶς νά ἴδω.
Ἀλλά, φίλοι μου, ἄς πλησιάσωμεν εἰς τό σπήλαιον, διά νά ἴδωμεν εἰς ποίαν κατάστασιν εὑρίσκεται τό παιδί μου καί μέ ποῖα ἤθη ἔχει κοσμηθῇ.
Αὐτά τά λόγια εἶπεν ὁ Πηλεύς καί κατόπιν ἐπροχώρησεν εἰς τήν ὁδόν· ἡμεῖς δέ οἱ ἄλλοι ἀκολουθούσαμεν.
Ἔπειτα εἰσήλθομεν εἰς τήν σκοτεινήν αὐλήν.
Καί ἐκεῖ εὑρίσκετο ξαπλωμένος ἐπί τοῦ ἐδάφους (χαμόκοιτος) ὁ μεγαλόσωμος Κένταυρος, ὁ ὁποῖος εἶχε στηριχθῇ μέ τάς ἱππείους ὁπλάς του ἐπάνω εἰς τόν βράχον,
ἀφοῦ ἐτέντωσε τά ταχέα μέλη του.
Ἐκεῖ δέ πλησίον ἐστέκετο ὁ υἱός τῆς Θέτιδος καί τοῦ Πηλέως
καί ἔκρουε μέ τά χέρια του τήν λύραν, ἐνῶ ὁ Χείρων ἠσθάνετο τέρψιν μέ τήν καρδιά του.
Ἀλλ᾽ ὅταν βέβαια ὁ Χείρων εἶδε τούς ἐνδόξους βασιλεῖς,
ἀνεπήδησε μετά χαρᾶς καί ἠσπάσθη ἕνα ἕκαστον ἄνδρα,
καί τραπέζι τούς ἑτοίμασε· μέσα δέ εἰς ἀμφορεῖς τούς ἔφερε κρασί

ρωγαλέαις ἔστρωσεν ἐπί στιβάδεσσι πέτηλα·
κλινθῆναι δ᾽ εκέλευσεν ἀδαιδάλτοις δ᾽ ὑπό πλεκτοῖς
κρεῖα χύδην προϋθηκε συῶν ἐλάφων τε ταχειῶν·
αὐτάρ ἔπειτ᾽ ἐπένειμε ποτόν μελιηδέος οἴνου.
ἀλλ᾽ ὅτε δή δόρποιο ποτοῦ θ᾽ ἅλις ἔλπετο θυμός,
χερσίν ἐπικροτέοντες ὁμόκλεον, ὄφρ᾽ ἄν ἔγωγε
δηρίσω Χείρωνι διωλύγιον κιθαρίζων.
ἀλλ᾽ ἐγώ οὐ πιθόμην· πέρι γάρ μέ οἱ ἤλυθεν αἰδώς,
ὁπλότερον γεγαῶτα γεραιτέρῳ ἰσοφαρίζειν·
μέσφ᾽ αὐτός Χείρων ἐλιλαίετο, καί μ᾽ ἀέκοντα
ἠνώγει ᾄδοντ᾽ ἐριδαινέμεν εἴνεκα μολπῆς.
πρῶτος δ᾽ αὖ Κένταυρος ἀείρατο πηκτίδα καλήν,
ἣν ρά οἱ ἐν χείρεσσι φέρων ὤρεξεν Ἀχιλλεύς.
ὅς δ᾽ ἄρ᾽ ἄειδε μάχην Κενταύρων ὁμβριμοθύμων,

στίχοι 418-444

οὓς Λαπίθαι κατέπεφνον ἀτασθαλίαις ἕνεκα σφῆσιν,
ἠδ᾽ ὡς Ἡρακλῆϊ καταντία μαιμώοντες,
ἐν Φολόῃ, δήρισαν· ἐπεί μένος οἶνος ἔγειρεν.
Αὐτάρ ἔγωγε μετ᾽ αὐτόν ἑλών φόρμιγγα λιγεῖαν,
ἐκ στόματος μελίγηρυν ἰείς ἀνέπεμπτον ἀοιδήν.
πρῶτα μέν ἀρχαίου χάεος μεγαλήφατον ὕμνον,
ὡς ἐπάμειψε φύσεις, ὡς τ᾽ οὐρανός ἐς πέρας ἦλθεν.
γῆς τ᾽ εὐρυστέρνου γένεσιν, πυθμένας τε θαλάσσης·
πρεσβύτατόν τε καί αὐτοτελῆ πολύμητιν Ἔρωτα,
ὅσσά τ᾽ ἔφυσεν ἅπαντα, τά δ᾽ ἔκριθεν ἄλλου ἀπ᾽ ἄλλο·
καί Κρόνον αἰνολέτην, ὡς τ᾽ ἐς Δία τερπικέραυνον

καί ἔστρωσε φύλλα δένδρων ἐπάνω εἰς σχι σμένα στρώματα·
καί τούς παρεκάλεσε νά ξαπλώσουν, κάτω δε εἰς ἄτεχνα πλεκτά σκεύη τούς παρέθεσε σκορπιστά κρέατα χοίρων καί ἐλαφιῶν γρηγο ροπόδαρων.
Ἔπειτα τούς ἐμοίρασε νά πιοῦν κρασί γλυκύ ὡσάν μέλι.
Καί ὅταν ηὐχαριστήθησαν ἀρκετά ἀπό φαγητά καί ποτά,
τότε κτυποῦντες μέ τά χέρια των ἐφώναζαν νά διαγωνισθῶ μέ τόν Χείρωνα παίζων τήν κιθάρα ἐπί πολύ. Ἀλλ᾽ ἐγώ ἠρνούμην (να κιθαρίσω)· διότι μέ κατέλαβεν ἐντροπή,
(θεωρῶν ἀσέβειαν) νά ἐξισωθῶ ἐγώ, πού ἤμην νεώτερος, πρός ἕνα γεροντότερον (μεγαλύτερον ἀπό ἐμέ κατά τήν ἡλικίαν)·
ἠρνούμην δέ νά πράξω τοῦτο, μέχρις ὅτου ὁ ἴδιος ὁ Χείρων ἐξέφρασε τήν ἐπιθυμίαν νά κιθαρίσω
καί μέ προέτρεψε, χωρίς νά θέλω, τραγουδώντας νά διαγωνισθῶ μαζί του γιά τό τραγούδι.
Καί τότε πρῶτος ὁ Κένταυρος ἐσήκωσεν ὡραίαν πηκτίδα,
τήν ὁποίαν κρατῶν εἰς τά χέρια του ἄπλωσε καί τοῦ ἔδωσεν ὁ Ἀχιλλεύς.
Ἐκεῖνος δέ (ὁ Κένταυρος) ἐτραγουδοῦσε τήν μάχην τῶν γενναιοψύχων Κενταύρων,

στίχοι 418-444

τούς ὁποίους ἐφόνευον οἱ Λαπίθαι ἐξ αἰτίας τῆς ἰδικῆς των ἁμαρτίας·
ἐπίσης ἐτραγουδοῦσε πῶς οἱ Κένταυροι ἐπολέμησαν εἰς τήν Φολόην πρός τόν Ἡρακλῆ, ἐπειδή εἶχον ἀντιθέτους πρός ἐκεῖνον ἐπιθυμίας·
διότι τό κρασί τούς διήγειρε τήν μανίαν των (τό πάθος των).
Ἐγώ δέ ὕστερα ἀπό αὐτόν (τόν Χείρωνα) ἔλαβον εἰς τά χέρια μου τήν λιγυρήν (τήν ὀξύφωνον) φόρμιγγα,
καί ἀπό τό στόμα μου ἄφησα νά ἀναπεμφθῇ γλυκύτατο τραγούδι.
Κατά πρῶτον ἐτραγούδησα τόν μεγαληγόρον (τόν ἔχοντα μεγαλοπρεπῆ νοήματα) ὕμνον διά τό ἀρχαῖον (τό ἀρχικόν) χάος, πῶς μετήλλαξε φύσεις (φυσικάς καταστάσεις), καί πῶς ὁ οὐρανός ἔλαβε πέρας·
καί τήν δημιουργίαν τῆς εὐρείας γῆς, καί τούς πυθμένας τῆς θαλάσσης·
καί τόν παλαιότερον ἀπό ὅλους, τόν τέλειον κα πολυμήχανον Ἔρωτα,
καί ὅλα ὅσα ἐδημιούργησε καί ὅσα διεχώρισε τό ἕνα ἀπό τό ἄλλο·
καί διά τόν Κρόνον, τόν σκληρόν ἐξολοθρευ-

ἦλυθεν ἀθανάτων μακάρων βασιλῆϊος ἀρχή.
μέλπον θ᾽ ὁπλοτέρων μακάρων γένεσίν τε κρίσιν τε·
καὶ Βριμοῦς, Βάκχοιο, Γιγάντων τ᾽ ἔργ᾽ ἀΐδηλα,
ἀνθρώπων τ᾽ ὀλιγοδρανέων πολυεθνέα φύτλην
ἤειδον· στεινόν δέ διά σπέος ἦλυθεν αὐδή,
ἡμετέρης χέλυος μελιχρήν ὄπα γυρυούσης.
ἔπτατο δ᾽ ἄκρα κάρηνα καὶ ἄγκεα δενδρήεντα
Πηλίου, ὑψηλάς τε μετά δρύας ἦλυθε γῆρυς.
καί ρ᾽ αἳ μέν πρόρριζοι ἐπ᾽ αὔλιον ἐρρώοντο,
πέτραι τ᾽ ἐσμαράγουν, θῆρες δ᾽ ἀΐοντες ἀοιδῆς
σπήλυγος προπάροιθεν ἁλυσκάζοντες ἔμιμνον·
οἰωνοί τ᾽ ἐκυκλοῦντο βοαύλια Κενταύροιο,
ταρσοῖς κεκμηῶσιν, ἐῆς δ᾽ ἐλάθοντο καλιῆς.
αὐτάρ ὁρῶν Κένταυρος ἐθάμβεε, χεῖρ᾽ ἐπί χειρί
πυκνόν ἐπισσείων· οὔδας δ᾽ ἤρασσεν ὁπλῇσιν.
Τίφυς δ᾽ εἰσεπέρησε νεώς ἄπο, καί ρ᾽ ἐκέλευσεν

στίχοι 445-472

οἱ δέ θοῶς ἤγερθεν ἐπ᾽ ἔντεα νηός ἕκαστος.
ὦκα περᾶν Μινύῃσιν· ἐγώ δ᾽ ἄμπαυον ἀοιδήν.
παῖδα δ᾽ ἐν ἀγκαλίδεσσιν ἀνίσχανεν ἱππότα Πηλεύς,
καί ρ᾽ ἔκυσεν κεφαλήν τε καί ἄμφω φάεα καλά,
δακρυόεν γελόων· κηλήθη δε φρέν᾽ Ἀχιλλεύς.
αὐτάρ ἐμοί Κένταυρος ἐῇ γέρας ὤπασε χειρί,
νεβρῆν παρδαλέην, ξεινήϊον ὄφρα φέροιμι.
ἀλλ᾽ ὅτε δή σπήλυγγος ἄπο προθορόντες ἔβημεν,
ἄκρης ἐκ σκοπιῆς ὁ γέρων ἄνα χεῖρας

τήν, καί πῶς περιῆλθεν εἰς τόν Δία, πού τέρπεται ἀπό τούς κεραυνούς
ἡ βασιλική κυριαρχία ἐπί τῶν εὐδαιμόνων ἀθανάτων θεῶν.
Ἐτραγουδοῦσα ἐπίσης τήν δημιουργίαν (τήν γέννησιν) καί τόν διαχωρισμόν τῶν νεωτέρων θεῶν·
καί τῆς Βριμοῦς, τοῦ Βάκχου καί τῶν Γιγάντων τά καταστρεπτικά ἔργα,
καί ἀκόμη τῶν ἀδυνάτων ἀνθρώπων τήν πολυεθνῆ φύτραν (γενεάν).
Διαπέρασε δέ τό στενόν σπήλαιον ἡ φωνή μου, ἐνῶ ἡ ἰδική μου λύρα ἀνέδιδε γλυκό τραγούδι.
Καί ἐπετοῦσαν αἱ ὑψηλαί κορυφαί καί τά δασοσκεπῆ φαράγγια τοῦ Πηλίου, καί ἡ φωνή μου ἐφθασε ἕως τίς ὑψηλές βαλανιδιές·
καί αὐτές ἀπό τήν ρίζαν των ἐκινοῦντο ὁρμητικῶς *πρός τό μικρό ἀγροτικό σπιτάκι*,
καί οἱ βράχοι ἐκροτοῦσαν, τά δέ ζῷα ἀκούοντα τό τραγούδι μου ἔφευγον (ἀπό τά καταφύγιά των) καί παρέμενον ἐμπρός εἰς τό σπήλαιον,
καί τά πετεινά ἐσχημάτιζον κύκλον γύρω ἀπό τόν στάβλον, ὅπου ἦσαν τά βόδια τοῦ Κενταύρου,
μέ τούς ταρσούς τῶν ποδιῶν των πολύ κουρασμένους, λησμονήσαντα τήν ἰδικήν των φωλεάν.
Ὁ δέ Κένταυρος βλέπως αὐτά κατεπλήσσετο καί ἔσειε συχνά τό ἕνα χέρι του ἐπάνω εἰς τό ἄλλο (ἀκουμποῦσε τό ἕνα χέρι ἐπάνω εἰς τό ἄλλο)
καί ἐκτυποῦσε τό ἔδαφος μέ τάς ὁπλάς του

στίχοι 445-472

Ἔπειτα ὁ Τίφυς εἰσῆλθεν εἰς τό πλοῖον καί *προέτρεψε*
τούς Μινύας νά περάσουν τάχεως μέσα εἰς αὐτό· ἐγώ δέ ἐσταμάτησα τό τραγούδι.
Ἐκεῖνοι (οἱ Μινύαι) συνεκεντρώθησαν ταχέως καθένας εἰς τήν θέσιν του στό πλοῖο.
Ὁ δέ ἱππότης Πηλεύς ἀνεσήκωσεν εἰς τάς ἀγκάλας του τόν υἱόν του
καί τοῦ ἐφίλησε τό κεφάλι καί τά δύο ὡραῖα μάτια του
καί δακρύων ἐγέλασε· καί ὁ Ἀχιλλεύς ἐχάρηκε.
Ἔπειτα ὁ Κένταυρος μοῦ *ἔδωσε μέ τό χέρι* του δῶρον,
ἕνα δέρμα παρδάλεως, διά νά τό ἔχω ὡς ἀναμνηστικόν τῆς φιλοξενίας.
Ἀλλ᾽ ὅταν ἐσηκώθημεν καί ἀπεμακρύνθημεν ἀπό τό σπήλαιον, ὁ γέρων Φιλλυρίδης ἀπό κάποια ὑψηλήν κορυφήν ἀνυψώνων τά χέρια του

ἀείρων
Φιλλυρίδης ἠρᾶτο, θεούς δ' ἐπεκέκλετο πάντας,
νόστον μέν Μινύῃσιν ἰδέ κλέος ἐσθλόν ἀρέσθαι
ὁπλοτέροις βασιλεῦσιν ἐπ' ἐσσομένοις μερόπεσσιν.
Αὐτάρ ἐπεί ρ' ἐπί θῖνα καί ἐς νέα πάντες ἔβησαν,
ἐν προτέροις θώκοισι καθίζανον· ἔν δ' ἄρ' ἐρετμοῖς
χεῖρας ἐφαπλώσαντες, ἔπειθ' ἅλα τύπτον ἕκαστος,
Πήλιον ἐκνεύσαντες· ὑπέρ μέγα λαῖτμα δέ πόντου
ἀφρός ἐπιζείων χαροπήν λεύκαινε θάλασσαν.
Τισαίη δ' ἀπέκρυφθεν ἄκρη καί Σηπιάς ἀκτή,
φάνθη δε Σκίαθος, Δόλοπός τ' ἀνεφαίνετο σῆμα,
ἀγχίαλός θ' Ὁμόλη, ῥεῖθρον θ' ἁλιμυρές Ἀναύρου,
ὅς διά πολλήν γαῖαν ἰεῖ μεγαλόβρομον ὕδωρ.
Οὐλύμπου δέ βαθυσκοπέλου πρηῶνας ἐρυμνούς
εἰσέδρακον Μινύαι, καί Ἄθω δενδρώδεα κάμψαν,
Παλλήνην τ' εὐρεῖαν, ἰδέ ζαθέην Σαμοθρῄκην,
ἔνθα καί ὄργια φρικτά θεῶν, ἄρρητα βροτοῖσιν
ἄσμενοι εἰσεπέρησαν ἐμαῖς ὑποθημοσύνῃσιν
ἥρωες· μίγα γάρ σφιν ὀφέλσιμον ἀνθρώποισιν
τῆσδε θυηπολίης ἀβολεῖν πλωτῆρσιν ἑκάστοις.

στίχοι 473-499

Σιντιακαῖς δ' ἐπ' ὀφρύσσιν ἑκέλσαμεν ὠκύαλον νῆυν
Λήμνῳ ἐν ἠγαθέῃ., τόθι περ κακά ἔργα μεμήλει
θηλυτέραις· αἳ γάρ οἱ ἀϊστώσαντο συνεύνους
σφῆσιν ἀτασθαλίαις. καί οἱ κλυτός Ὑψιπύλεια
ἑλδομέναις κραίνεσκε, γυναικῶν εἶδος ἀρίστη.

προσηύχετο καί ἐπεκαλεῖτο ὅλους τούς θεούς (νά βοηθήσουν) τούς Μινύας· διά τήν ἐπιστροφήν των εἰς τήν πατρίδα καί νά ἀποκτήσουν οἱ νεώτεροι βασιλεῖς φήμην (δόξαν) καλήν εἰς τούς μεταγενεστέρους ἀνθρώπους.
Ἀφοῦ δέ ἔπειτα κατέβησαν εἰς τήν ἀκτήν καί εἰσῆλθον ὅλοι εἰς τό πλοῖον,
ἐκάθισαν εἰς τάς θέσεις, πού εἶχον προηγουμένως· καί ἅπλωσαν τά χέρια των ἐπάνω εἰς τά κουπιά, καί ἔπειτα ὁ καθένας ἐκτυποῦσε τήν θάλασσαν μέ τό κουπί του (ἐκωπηλατοῦσε)· καί ἀπέπλευσαν ἀπό τό Πήλιον.
Ὑπεράνω δέ ἀπό τό ,μεγάλο βάθος τῆς θαλάσσης
κοχλάζοντας ὁ ἀφρός καθίστα λευκήν τήν λάμπουσαν θάλασσαν,
Ἀπεκρύβησαν ἔπειτα τό ἀκρωτήριον Τισαία καί ἡ Σηπιάς ἀκτή, ἐφάνη δέ ἡ Σκίαθος καί ἀνεφαίνετο σιγά σιγά τό μνῆμα τοῦ Δόλοπος, ἐπίσης ἡ παραθαλασσία Ὁμόλη καί τό ρεῦμα τοῦ Ἀναύρου, πού χύνεται εἰς τήν θάλασσαν, καί ὁ ὁποῖος ἀφίνει νά διαρρέῃ μεγάλην ἔκτασιν τῆς ξηρᾶς τό πολυθόρυβον νερό του.
Ἐξ ἄλλου εἶδαν οἱ Μινύαι τούς ἀποκρήμνους βράχους τοῦ Ὀλύμπου, πού ἔχει ὑψηλούς κρημνούς,
καί παρέκαμψαν τόν δασώδη Ἄθωνα
καί τήν εὐρύχωρον Παλλήνην καί τήν ἱεράν Σαμοθράκην,
ὅπου τελοῦνται αἱ φρικταί ἱεροτελεστίαι τῶν θεῶν, αἱ ὁποῖαι εἶναι ἀπόρρητοι (ἀπηγορευμέναι) εἰς τούς ἀνθρώπους·
εἰς αὐτάς εὐχαρίστως εἰσῆλθον οἱ ἥρωες κατόπιν τῶν ἰδικῶν μου παραινέσεων· διότι εἶναι ὠφέλιμον εἰς τόν καθένα ἀπό τούς ἀνθρώπους,
πού πλέουν εἰς τήν θάλασσαν, νά παρευρίσκωνται ὁμοῦ εἰς αὐτήν τήν ἱεροτελεστίαν.

στίχοι 473-499

Προσωρμίσαμεν δέ τό ταχυκίνητον πλοῖον ἐπί τῶν Σιντιακῶν βράχων
εἰς τήν ἱερωτάτην Λῆμνον. Ἐδῶ εἰς τήν Λῆμνον αἱ τρυφεραί γυναῖκες ἐμελετοῦσαν· (ἐσχεδίαζαν) κακά ἔργα (κακοῦργα)·
διότι αὐταί ἐξωλόθρευσαν τούς συζύγους των ἐξ αἰτίας τῶν ἰδικῶν των ἁμαρτιῶν. Καί εἰς αὐτάς τάς γυναῖκας, πού κατείχοντο ἀπό ἐπιθυμίας, ἐβασίλευεν ἡ περιώνυμος Ὑψιπύλη,
ἡ ὁποία ἦτο ὡραιοτάτη κατά τήν μορφήν μεταξύ ὅλων τῶν ἄλλων γυναικῶν.

ἀλλά τί σοι περί τῶνδε πολύν λόγον ἀμφαδόν εἰπεῖν,
ὅσσον ἐφ᾽ ἵμερον ὧρσεν ἀγαυαῖς Λημνιάδεσσιν
Κύπρις ἐρωτοτρόφος Μινύαις εἰς λέκτρα μιγῆναι,
φίλτροις Ὑψιπύλην ἐρατοῖς ἐδάμασσεν Ἰήσων·
ἄλλῃ δ᾽ ἄλλος ἔμικτο· καὶ ἐκλελάθοντο πορείης,
εἰ μή ἀποτροπίοις ἐνοπαῖς θελξίφρονί θ᾽ ὕμνῳ
ἡμετέρῳ θελχθέντες ἔβαν ποτί νῆα μέλαιναν,
εἰρεσίην ποθέοντες, ἐπεμνήσαντο δέ νόστου.
Ἔνθεν ἐς Ἑλλήσποντον ἀμηχάνους φέρει οὖρος,
ἀκραής Ζέφυρος, στεινῆς ἀπάτερθεν Ἀβύδου,
Ἴδην, Δαρδανίην, Πιτύην τ᾽ ἐπί δεξί᾽ ἔχοντας,
οὗ καί Ἀβαρνιάδος Περκώτης τ᾽ εὔσταχυν αἶαν
ἀργυρέαις Αἴσηπος ἐπικλύζει προχοῇσιν.
αἶψα δ᾽ ἐπιθρῴσκουσα θέεν πολυηγόρος Ἀργώ.
αὐτάρ ἐπί ψαμάθοισιν ἐκέλσαμεν· ἔν δ᾽ ἄρα Τῖφυς
ἰθύντωρ ἀκάτοιο, καί ἀγλαός Αἴσονος υἱός,
σύν τ᾽ ἄλλοι Μινύαι, γλαυκώπιδι Τριτογενείῃ
θῆκαν ἀείραντες βριθύν λίθον· ἔνθα τε νύμφα.
κρήνῃ ὑπ᾽ Ἀρτακίῃ λάλα νάματα πλημμύρουσιν,
οὕνεκά οἱ πλώουσιν ἀνά πλατύν Ἑλλήσποντον
εὔδιος ἀντεβόλησε μυχοῦ ἔντοσθε γαλήνη,
οὐδ᾽ εἰς γαῖαν ἔρριψαν ἐυγνάμπτους ἀγκύρας,

στίχοι 500-528

κύμασι θεινόμενοι ὑπό χειμερίῃσιν ἀέλλαις.
ἔνθα δέ πορσύνοντες ἐπί κροκάλαις

Ἀλλά διατί νά σοῦ κάμω ἀναφανδόν (ἀνοιχτά) μακρόν λόγον περί αὐτῶν τῶν γυναικῶν,
(ἀφοῦ εἶναι ἀρκετόν νά σου εἴπω) πόσον ἰσχυρόν πόθον διήγειρεν εἰς τάς εὐγενεῖς Λημνιάδας
ἡ Κύπρις, ἡ τροφός τοῦ ἔρωτος, διά νά σμίξουν εἰς τά κρεββάτια μέ τούς Μινύας·
καί ὅτι τήν Ὑψιπύλην τήν ἐδάμασε ὁ Ἰάσων (τήν κατέκτησε) μέ φίλτρα, πού διεγείρουν τόν ἔρωτα·
ὁ ἕνας δέ ἔσμιγε μέ τήν μίαν γυναῖκα καί ὁ ἄλλος μέ τήν ἄλλην·
καί θά εἶχον λησμονήσει (οἱ Μινύαι) τήν συνέχισιν τοῦ ταξιδίου των,
ἄν δέν κατώρθωνα ἐγώ νά τούς πείσω μέ ἀποτρεπτικάς φωνάς καί νά τούς μαγεύσω μέ τόν ἰδικόν μου ὕμνον, πού θέλγει τήν καρδιά, νά μεταβοῦν εἰς τό μελανόν πλοῖον,
ἀποκτῶντες ἐκ νέου τήν ἐπιθυμίαν πρός κωπηλασίαν· ἐνεθυμήθησαν δέ τότε καί τήν ἐπιστροφήν εἰς τήν πατρίδα.
Ἀπ᾽ ἐδῶ οὖριος ἄνεμος, ὁ σφοδρῶς πνέων Ζέφυρος, μᾶς ἔφερε συγχρόνως μέ τήν αὐγήν εἰς τόν Ἑλλήσποντον,
μακράν τῆς στενοπόρου Ἀβύδου,
καί εἴχαμε πρός τά δεξιά μας τήν Ἴδην, τήν Δαρδανίαν καί τήν Πιτύαν,
ὅπου καί τήν σιτοφόρον γῆν τῆς Ἀβαρνιάδος Περκώτης
ἀρδεύει μέ τά ἀργυρόχροα νερά του ὁ ποταμός Αἴσηπος.
Ταχέως δέ ἀναπηδῶσα ἔτρεχεν ἐπάνω εἰς τά κύματα ἡ πολύλαλος Ἀργώ.
Ἔπειτα τήν προσωρμίσαμεν εἰς κάποια ἀμμώδη περιοχήν· ἐδῶ ὁ Τῖφυς,
ὁ κυβερνήτης τοῦ πλοίου, καί ὁ λαμπρός υἱός τοῦ Αἴσονος καί μαζί μέ αὐτούς καί ἄλλοι Μινύαι ἐσήκωσαν ἕνα βαρύν λίθον καί τόν ἀνέθεσαν εἰς τήν Τριτογένειαν (Ἀθηνᾶν) μέ τούς γλαυκούς
ὀφθαλμούς· καί ἐδῶ, κάτω ἀπό τήν Ἀρτακίαν κρήνην , αἱ νύμφαι κάνουν τά φλύαρα νερά νά πλημμυρήσουν·
ἐξ αἰτίας τούτου (αὐτῆς τῆς προσφοράς πρός τήν Τριτογένειαν),
ἐνῶ αὐτοί ἔπλεον εἰς τόν πλατύν Ἑλλήσποντον,
ἐπεκράτησεν ἐντός τοῦ μυχοῦ ἀδιατάρακτος γαλήνη,
οὔτε ἔρριψαν εἰς τήν ξηράν τάς εὐκάμπτους ἀγκύρας,

στίχοι 500-528

ἄν καί ἐπλήσσοντο ἀπό τά κύματα κάτω ἀπό χειμερινάς θυέλλας.
Ἐδῶ δέ, ἀφοῦ ἑτοιμάσαμεν ἐπάνω εἰς προε-

προυχούσαις
δεῖπνά τε καί κλισίην, δόρπου μεμνήμεθ' ἕκαστοι.
δή τότε κεκλιμένοισιν ἐπήλυθε Κύζικος ἥρως,
ὅς Δολιέων ἤνασσε περικτιόνων ἀνθρώπων,
Αἰνῆος υἱός, τόν οἱ τέκε δῖα γυναικῶν,
Εὐσώρου θυγάτηρ Αἰνήτη καλλιπάρῃος·
ὅς ρα φιλοξενίῃ Μινύας ἐγέρηρεν ἅπαντας,
σφάζων πῖά τε μῆλα, καί εἰλίποδας ἕλικας βοῦς,
ἀγροτέρους τε σύας· δῶκεν δ' ἔπι οἶνον ἐρυθρόν·
σῖτον δ' ἄφθονον ἦκεν ἀποπλώουσι *φέρεσθαι*,
χλαῖνας τ' ἠδέ τάπητας, ἐϋννήτους τε χιτῶνας.
φίλατο δ' αὖ παρεόντας ὁμηλικίης ἕνεκα σφῆς·
καί ρα πανημερίῃσιν ἐν εἰλαπίνῃσιν ὅμαρτεν.
Ἀλλ' ὅτ' ἐς Ὠκεανοῖο ῥόον βαπτίζετο Τιτάν,
ὄρφνην δ' ἀστροχίτων' ἔπαγεν μελαναυγέα μήνη,
τῆμος ἀρηΐφατοι κίον ἀνέρες, οἵ ρα νέμοντο
ἀρκτῴοις ἐν ὄρεσσι, πεφυκότες εἴκελοι θηρσίν,
Τιτῆσιν βριαροῖς τ' ἐναλίγκιοι ἠδέ Γίγασιν·
ἕξ γάρ χεῖρες ἑκάστῳ ἀπ' ὤμων ἀΐσσοντο.
οὓς οἱ ἐσαθρήσαντες ἀμαιμάκετοι βασιλῆες
ἐς μόθον ὁρμαίνοντας, ἀρήϊα τεύχε' ἔδυνον.
καί ρ' οἵ μέν πεύκῃσιν ἀμύνοντ', οἵ δ' ἐλάτῃσιν·
ἐν δ' ἔπεσον Μινύῃσι κατά σκοτόεσσαν ὁμίχλην.
οὓς οἱ ἐπειγομένους κτεῖνεν Διός ἄλκιμος υἱός,
τόξῳ οἰστεύων. σύν δ' Αἰνέος ὤλεσε παῖδα
Κύζικον, οὔτι ἑκών, ἀλλ' ἀφραδίῃσι πεδηθείς·
τῷ δ' ἄρα μόρσιμον ἦεν ὑφ' Ἡρακλῆι

ξεχούσας (ὑψηλάς) κροκάλας
τό δεῖπνον καί τό μέρος ὅπου θά ἐξαπλώναμεν, καθένας ἀπό μᾶς ἐνεθυμήθη τό φαγητόν.
Τότε λοιπόν, ἐνῶ ἤμεθα ἐξαπλωμένοι, προσῆλθεν ὁ ἥρως Κύζικος,
ὁ ὁποῖος ἦτο ἄρχων τῶν Δολιέων ἀνθρώπων πού κατοικοῦσαν εἰς τήν γειτονικήν περιοχήν.
Αὐτός (ὁ Κύζικος) ἦτο υἱός τοῦ Αἰνέως, τόν ὁποῖον ἐγέννησε μέ αὐτόν μία εὐγενής γυναῖκα,
ἡ ὡραία Αἰνήτη, θυγάτηρ τοῦ Εὐσώρου.
Ἐκεῖνος λοιπόν ἐτίμησεν ὅλους τούς Μινύας, παρέχων εἰς αὐτούς φιλοξενίαν,
καί ἔσφαξε (πρός χάριν των) καλοθρεμμένα γιδοπρόβατα καί βόδια, πού συστρέφουν τά πόδια των,
καί ἀγριογούρουνα· τούς προσέφερεν ἀκόμη κόκκινο κρασί·
καί ἀκόμη τούς ἐπέτρεψε νά πάρουν μαζί των κατά τόν ἀπόπλουν των ἄφθονο σιτάρι,
χλαίνας καί τάπητας καί καλογνεσμένους χιτῶνας·
διότι τούς ἀγάπησε αὐτούς καί τούς ἐφιλοξένησε, ἐνῶ ἦσαν παρόντες, λόγῳ τοῦ ὅτι ἦσαν συνομήλικοι·
καί τούς ἔκαμε συντροφιά κατά τό ὁλοήμερον φαγοπότι (καί διεσκέδασε μαζί των).
Ἀλλ' ὅταν ἐβυθίζετο εἰς τό ρεῦμα τοῦ Ὠκεανοῦ ὁ Τιτάν,
καί ἡ σελήνη, πού καταυγάζει εἰς τήν σκοτεινιά, ἔφερε τήν νύκτα,
πού εἶχε ὡς χιτῶνά της τά ἄστρα,
τότε ἦλθον κάποιοι πολεμικοί ἄνδρες, οἱ ὁποῖοι ἐζοῦσαν (ἦσαν ἐγκατεστημένοι)
εἰς τά πρός βορρᾶν ὄρη καί ὡμοίαζον ἀπό τήν φύσιν των πρός τά θηρία,
παρόμοιοι πρός τούς στιβαρούς Τιτάνας καί πρός τούς Γίγαντας·
διότι εἰς τόν καθένα των ἔξ χέρια ξεπηδοῦσαν ἀπό τούς ὤμους.
Ὅταν εἶδαν αὐτούς οἱ ἀκαταμάχητοι βασιλεῖς, ὅτι εἶναι πρόθυμοι νά ὁρμήσουν εἰς μάχην, ἐνεδύθησαν τά πολεμικά των ὅπλα.
Καί ἄλλοι μέν ἐξ αὐτῶν ἠμύνοντο (ἦσαν ὡπλισμένοι) μέ πεῦκα, ἄλλοι δέ μέ ἔλατα
καί ἐπέπεσαν ἐναντίον τῶν Μινυῶν κατά τήν ὥραν τῆς σκοτεινῆς ὁμίχλης.
Αὐτούς, ἐνῶ ἔσπευδον (διά νά ἐπιτεθοῦν), τούς ἐφόνευσεν ὁ ἰσχυρός υἱός τοῦ Διός,
βάλλων ἐναντίον των μέ βέλη διά τοῦ τόξου του. Μαζί ὅμως μέ αὐτούς ἐξωλόθρευσε καί τόν υἱόν τοῦ Αἰνέως, τόν Κύζικον, ὄχι βέβαια ἑκουσίως, ἀλλά διότι κατεσχέθη (κατελήφθη) ὑπό ἀφροσύνης·
ἦτο δυστυχῶς τῆς μοίρας του (τοῦ Κυζίκου) νά

δαμῆναι.
αἶψα δέ οἱ Μινύαι κοίλης ἔντοσθεν ἔβησαν

στίχοι 529-557

νηός τευχήρεις, ποτί δε ζυγόν ἷζον ἕκαστος.
Τῖφυς δε πρύμνηθεν ἐπήπυεν, ἠδ' ἐκέλευεν
κλίμακα νηός ἔσω ἐρύσαι, καί πείσματα λῦσαι.
ἀλλ' οὔ οἱ λύοντο κάλοι, δεσμοῖσι δ' ἀφύκτοις
ὠκείης στροφάλιγγος ἀρηρότες ἐσφίγγοντο,
νῆα κατείργοντες. θάμβησε δέ Τῖφυς ἀμύμων,
ἄφθογγος δέ οἱ ἦκε χερῶν οἰήϊα νηός
Ἀργῴης· οὐ γάρ οἱ ἐέλπετο κῦμα περῆσαι.
Ῥείη γάρ κοτέεσκε δεδουπότος εἵνεκα λαοῦ.
ἀλλ' ὅτε πρός μέσατον νυκτός προΰβαινεν ἀταρπός
ἄστρα τε τηλεφανῆ δῦνεν ῥόον Ὠκεανοῖο,
ὅσσοις ἰθυντῆρος ἐπέστιχε νήδυμος ὕπνος.
τῷ δέ βαθύ κνώσσοντι θεά μενέδουπος Ἀθήνη
ἄγχι παρισταμένη πανετήτυμα σήματ' ἔφαινεν·
ὧδε δ' ὁμοκλήσασα θεηγόρον ἔννεπε μῦθον·
Εὕδεις, Ἀγνιάδη, γλυκερῷ βεβολημένος ὕπνῳ,
κῶμα περί βλεφάροισι λαβών· ἀλλ' ἔγρεο, Τῖφυ,
κέκλεο δ' ἡρώεσσι μολεῖν ἐπί νήνεμον ἀκτήν,
νηός ἀποπροθορόντας, ὅθι ξένος ἐν ψαμάθοισιν
κεῖται ἀποφθίμενος· τῷ οἱ κτέρεα κτερεΐξαι
παμμήτειρα Ῥέη κέλεται γέρα, ἠδ' ἐπιλοιβάς
δοῦναι ὑποχθονίοις, καί δάκρυα λειβέμεν ὅσσων
αἰδομένους Θέμιν ἀγνότελῆ ξενίην τε τράπεζαν·

φονευθῇ ἀπό τόν Ἡρακλῆ.
Ταχέως ἔπειτα οἱ Μινύαι εἰσῆλθον ἔνοπλοι εἰς τό κοῖλον (τό βαθουλό)

στίχοι 529-557

πλοῖον, καί ὁ καθένας ἐκάθισεν εἰς τήν θέσιν του.
Ὁ Τῖφυς φωνάζων ἀπό τήν πρύμνην ἐπεδοκίμαζε (τήν πρᾶξίν των) καί ἔδωσεν ἐντολήν
νά ἀνασύρουν τήν κλίμακα εἰς τό ἐσωτερικόν τοῦ πλοίου καί νά λύσουν τά παλαμάρια.
Ἀλλα δέν ἐλύοντο τά καραβόσχοινα, τά ὁποῖα συνηρμοσμένα μέ ἄλυτα δεσμά
ἐσφίγγοντο ἀπό τόν ταχύν στρόβιλον,
καί ἠμπόδιζαν τό πλοῖον (νά κινηθῇ). Ὁ λαμπρός Τῖφυς ἔμεινε κατάπληκτος ἀπό αὐτό.
καί ἄφωνος ἄφησε νά ξεφύγῃ ἀπό τά χέρια του τό πηδάλιον
τῆς Ἀργοῦς· διότι δέν ἤλπιζεν ὅτι θά περάσουν τό κῦμα (τήν θάλασσαν)·
διότι εὐκόλως κατελαμβάνετο ἀπό ὀργήν ἐξ αἰτίας τοῦ πλήθους (τῶν συντρόφων του), πού ἐθορύβει.
Ἀλλ' ὅταν ἡ πορεία τοῦ ἡλίου (ἡ ὥρα) ἐπροχώρησε πρός τό μέσον τῆς νυκτός (πρός τό μεσονύκτιον)
καί τά ἄστρα, πού φαίνονται ἀπό μακράν (φωτίζουν ἀπό μακρυά), ἐβυθίζοντο (ἔδυον) εἰς τό ρεῦμα τοῦ Ὠκεανοῦ,
τότε εἰς τά ὄμματα τοῦ κυβερνήτου (τοῦ πλοιάρχου) ἐπεκάθισε βαθύς ὕπνος.
Ἐνῶ δέ ἦτο αὐτός βυθισμένος εἰς ὕπνον βαθύν, ἡ θεά Ἀθηνᾶ, πού ὑπομένει τούς θορύβους, σταθεῖσα πλησίον του, τοῦ ἐφανέρωσε σημεῖα ἀληθινά.
Προσφωνήσασα δέ αὐτόν ἐξεφώνησε λόγον θεομίλητον καί τοῦ εἶπε τά ἑξῆς:
Κοιμᾶσαι, υἱέ τοῦ Ἀγνίου, καταβεβλημένος ἀπό τόν γλυκύν ὕπνον,
καί ὑπνηλία κατέλαβε τά βλέφαρά σου· ἀλλά σήκω (ξύπνησε), Τῖφυ,
καί δόσε ἐντολήν εἰς τούς ἥρωας, ἀφοῦ πηδήσουν ἀπό τό πλοῖον, νά ἔλθουν εἰς τήν ἤρεμον ἀκρογιαλιά,
ὅπου κεῖται ἀποθαμένος ὁ ξένος μέσα εἰς τήν ἄμμον· εἰς αὐτόν προστάσσει ἡ Ρέα, ἡ μητέρα τῶν πάντων, νά κάμετε τάς ἐπικηδείους τελετάς πρός τιμήν του,
καί νά προσφέρετε σπονδάς
εἰς τούς ὑποχθονίους θεούς, καί δάκρυα νά χύσετε ἀπό τά μάτια, (καί ταῦτα νά πράξετε) ἐκ σεβασμοῦ πρός τήν Θέμιν, πού τήν λατρεύουν οἱ ἄνθρωποι μέ ἱεράς τελετάς, καί πρός τό τραπέζι, τό ὁποῖον σᾶς ἐφιλοξένησε·

ὃν ῥ' ἀέκων ἔκτεινε βαλών διά νύκτερον ὄρφνην
Ἡρακλέης· θυμόν δέ θεᾶς ἐχολώσατε Ῥείης.
ἀλλ' ὁπόταν θεσμοῖς ξεῖνον σεβάσησθε θανόντα,
Δίνδυμον αὐτίκ' ἔπειτα Ῥέης ἔδος εἰσαναβάντες,
ἱλασμοῖς ἱεροῖς Γαίης ἀρέσασθε θύγατρα,
πείσματα δ' ἀράμενοι, τότε δή μνώεσθε πλόοιο.

τοῦτον βέβαια ἀκουσίως ἐφόνευσεν ὁ Ἡρακλῆς προσβαλών αὐτόν μέ τό τόξον (ἐξ ἀβλεψίας) λόγῳ τῆς ζοφερᾶς νυκτός·
καί ἐκάματε (ἐκαταφέρατε) νά χολωθῇ ἡ καρδιά τῆς θεᾶς Ρέας.
Ἀλλ' ὅταν ἀποδώσετε τόν δέοντα σεβασμόν πρός τόν ἀποθανόντα (πρός τόν φονευθέντα ὑπό τοῦ Ἡρακλέους) ξένον συμφώνως πρός τά καθιερωμένα,
εὐθύς ἔπειτα ἀφοῦ ἀνέλθετε εἰς τό Δίνδυμον, τήν κατοικίαν τῆς Ρέας,
νά προσευχηθῆτε δι' ἐξιλαστηρίων τελετῶν εἰς τήν θυγατέρα τῆς Γῆς,
καί ἀφοῦ σηκώσετε τά παλαμάρια, τότε βεβαίως νά ἐνθυμηθῆτε τόν πλοῦν (τό ταξίδι σας).

στίχοι 558-586

Ὣς εἰποῦσα θεά πάλιν ἐτράπετ', ἶσον ὀΐστῳ
οὐρανόν ἐσσυμένη. τοῦ δ' αὐτίκα κῶμα κεδάσθη,
πρύμνης δ' ἅλτο θοῶς· ἀνέγειρε δέ λαόν ἀϋτῇ,
τοίχων ἔνθα καί ἔνθα παρακλιδόν ὑπνώοντας,
ψυχῇ ὑποτρομέων· ἄφαρ ἠρώεσσι δ' ὀνείρου
φάσματα πᾶσιν ἔνισπεν, ἐπιδρομάδην ἀγορεύων.
οἳ δέ θοῶς ἤγερθεν, ἐπ' ἠϊόνα δ' ἅλτο ἕκαστος.
ἣ δέ κατ' ὀρφναίοιο πόλου χρυσήνιος Ἠώς
ἀντολίας ἤνοιγεν, ἐδέχνυτο δ' οὐρανός ὄρθρον·
καί τότ' ἀριστῆες Μινύαι νέκυν εἰσενόησαν,
αἵματι καί κονίῃ πεπαλαγμένον· ἀμφί δ' ἄρ' ἄλλοι
δῄοι ἀμφίς ἔκειντο, πελώρια σώματα θηρῶν,
ἀλλ' οἳ μέν βασιλῆα περισταδόν ἀμφιχυθέντες
Κύζικον εὐξέστοισιν ὕπερ λεχέεσσιν ἔθηκαν,
ἂν δ' ἄρα τύμβον ἔχευαν, ἐδομήσαντο δέ σῆμα.

στίχοι 558-586

Ἀφοῦ εἶπεν αὐτά ἡ θεά (Ἀθηνᾶ πρός τόν Τίφυν)
ἀπεχώρησε σπεύδουσα πρός τόν οὐρανόν μέ ταχύτητα ἴσην πρός τήν ταχύτητα τοῦ βέλους·
αὐτοῦ δέ (τοῦ Τίφυος) ἡ ὑπνηλία διεσκορπίσθη ἀμέσως,
καί ἀνεπήδησε ταχέως ἀπό τήν πρύμνην· καί ἐξεσήκωσε μέ τάς φωνάς του τό πλῆθος (τῶν συντρόφων του),
οἱ ὁποῖοι ἐκοιμῶντο ἐδῶ καί ἐκεῖ εἰς τά πλευρά τοῦ πλοίου πλαγιασμένοι·
καί ἦτο τρομαγμένος
καί (ἔτρεμε)· καί ἀμέσως ἐξέθεσεν εἰς ὅλους τούς ἥρωας τά φαντάσματα (πού εἶδεν) εἰς τό ὄνειρόν του καί ὡμιλοῦσε πρός αὐτούς ἐπιτροχάδην (βιαστικά).
Ἐκεῖνοι ταχέως ἐσηκώθησαν καί ὁ καθένας ἐπήδησεν εἰς τήν ἀκτήν.
Ἡ δέ Ἠώς (ἡ αὐγή), πού ἔχει χρυσᾶ ἡνία, διήνοιγε κατά τό μέρος τοῦ σκοτεινοῦ πόλου τήν ἀνατολήν (τοῦ Ἡλίου), καί ὁ οὐρανός ὑπεδέχετο τόν ὄρθρον.
Καί τότε οἱ ἀριστεῖς (οἱ ἄρχοντες) Μινύαι ἀνεγνώρισαν τόν νεκρόν,
ὁ ὁποῖος ἦτο πασπαλισμένος μέ αἷμα καί μέ σκόνη· γύρω δέ ἀπ' αὐτόν
ἔκειντο νεκροί οἱ ἄλλοι ἐχθροί, οἱ ὁποῖοι περιέβαλλον αὐτόν καί ἀπό τά δύο μέρη καί εἶχον ὑπερμεγέθη σώματα ὡσάν τῶν θηρίων τά σώματα.
Ἐκεῖνοι δέ (οἱ ἀριστεῖς Μινύαι) διαχυθέντες κυκλικῶς (γύρω ἀπό τό σῶμα τοῦ νεκροῦ) ἐτοποθέτησαν τόν βασιλέα
Κύζικον ἐπάνω εἰς καλοξεσμένο κρεββάτι,
ἀνήγειραν δέ τύμβον (λόφον) ἐπιχύνοντες χῶμα καί κατεσκεύασαν μνῆμα εἰς σχῆμα οἰκίας.

φιτρούς δ᾽ αἷμα κόμιζον, ἰδ᾽ ἔντομα πορσύνοντες
παμμέλαν᾽ ἐν βόθροις μετεκίαθον. αὐτάρ ἔγωγε
ψυχὴν ἱλασάμην, σπένδων μειλίγματα χύτλων,
ὕδατί τ᾽ ἠδὲ γάλακτι, μελισσορύτοις ἅμα νασμοῖς
λοιβὰς ἐκπροχέων, καὶ ἐμοῖς ὕμνοισι γεραίρων.
αὐτὸς δ᾽ Αἰσονίδης προὐθήκατο πᾶσιν ἄεθλον,
τυμβιδίου ἐπ᾽ ἀγῶνος ἑταίροις ἔμμεν᾽ ἄεθλα,
δῶρα, τά οἱ πόρεν Ὑψιπύλη Λήμνοιο φέρεσθαι.
Ἀγκαίῳ μὲν δῶκε πάλης γέρας ἀμφικύπελλον
χρύσειον πολυχανδές ἔχειν· Πηλῆι δ᾽ ἔδωκεν
θάσσονί οἱ σταδίοισι, ποδωκείης ἕνεκα σφῆς,
χλαῖναν φοινικέην, πολυδαίδαλον ἔργον Ἀθήνης.
αὐτάρ παγκρατίοιο πόρεν γέρας Ἡρακλῆϊ
ἀργύρεον κρητῆρα παναίολον· ἱππασίης δέ

στίχοι 587-615

Κάστορι χρυσείων φαλάρων πολυτεχνέα κόσμον·
πυγμαχίης δέ τάπητ᾽ ἀλιανθέα δῶκε φέρεσθαι
ἀθλοφόρῳ Πολυδεύκει· ὃ γάρ κλυτὸν ἤρατο νῖκος.
αὐτὸς δ᾽ εὐκαμπὲς λάβε οἱ τόξον καὶ ὀϊστούς,
τεινόμενος δέ οἱ ἦκε βέλος, τὸ δ᾽ ἀπέπτατο τηλοῦ·
δῶκε δ᾽ ἄρ᾽ Αἰσονίδη, Μινύης λόχος εἵνεκα τιμῆς
πλέξας εὐανθῆ στέφανον τανυφύλλου ἐλαίης.
αὐτάρ ἐμοὶ μολπῆς γέρας ὤπασε δῖος Ἰήσων,
ἐμβαδα χρυσείῃσι τιταινομένην πτερύγεσσιν.
λύτο δ᾽ ἀγών, φήμη δέ διέπτατο δώματος εἴσω
Κυζίκου οἰχομένου· τοῦ δ᾽ ὡς κλύε

Ταχέως δέ μετέφεραν κορμούς δένδρων καὶ ἑτοιμάζοντες κατάμαυρα σφάγια (σφάγια ἀπό κατάμαυρα ζῶα)
μέσα εἰς λάκκους παρακολουθοῦσαν. Ἔπειτα ἐγώ
ἀπέβλεψα εἰς τὴν ἐξευμένισιν τῆς ψυχῆς (τοῦ Κυζίκου) *κάμνων σπονδήν ἀπό προσφοράν* ὑγρῶν
καὶ ἔχυνα σπονδὰς ἀπό νερό καὶ γάλα καὶ συνάμα ἀπό ὑγρά, πού ρέουν ἀπό μέλισσες (ἀπό μέλι) καὶ τόν ἐτιμοῦσα προσέτι μέ τούς ἰδικούς *μου ὕμνους*.
Ὁ ἴδιος δέ ὁ υἱός του Αἴσονος ἔθεσε (προεκήρυξε) δι᾽ ὅλους ἀγῶνα,
νά εἶναι κατά τόν ἐπιτύμβιον ἀγῶνα (πρός τιμήν τοῦ Κυζίκου) διά τούς συντρόφους του ὡς ἔπαθλα
τά δῶρα, τά ὁποῖα ἐχορήγησεν εἰς αὐτόν νά πάρῃ μαζί του ἀπό τήν Λῆμνον ἡ Ὑψιπύλη.
Εἰς τόν Ἀγκαῖον ἔδωσεν (ὁ Ἰάσων) νά ἔχῃ ὡς βραβεῖον διά τήν νίκην του εἰς τήν πάλην ἕν χρυσοῦν διπλοῦν κύπελλον,
πού εἶχε μεγάλην χωρητικότητα,
εἰς τόν Πηλέα, τόν ταχύτερον εἰς τόν ἀγῶνα σταδίου, ἔδωσε διά τήν ταχυποδίαν του
μίαν χλαῖναν φοινικόχρουν (κόκκινη), ἔργον τῆς Ἀθηνᾶς, κατεσκευασμένον μέ πολλήν τεχνικότητα.
Εἰς τόν Ἡρακλῆ διά τήν νίκην του εἰς τό παγκράτιον ἔδωσεν ὡς βραβεῖον ἕνα ἀργυροῦν κρατῆρα πολυποίκιλον καὶ ἀπαστράπτοντα·

στίχοι 587-615

εἰς δέ τόν Κάστορα, νικητήν κατά τόν ἀγῶνα τῆς ἱππασίας, ἔδωσε χρυσᾶ φάλαρα, κόσμημα κατεσκευασμένον μέ πολλήν τέχνη·
διά τόν ἀγῶνα τῆς πυγμαχίας ἔδωσεν εἰς τόν νικητήν Πολυδεύκην τάπητα στολισμένον μέ ἄνθη τῆς θαλάσσης·
διότι αὐτός κατήγαγεν ἔνδοξον νίκην.
Ὁ ἴδιος δέ ὁ Ἰάσων ~~ἔπιασε~~ στά χέρια του εὔκαμπτον τόξον καὶ βέλη,
καὶ τεντώνων αὐτό ἐξέπεμψε βέλος, τό ὁποῖον ἐπέταξε μακράν.
Ἐδώρησε δέ ὁ λόχος (ἡ ὁμάς) τῶν Μινυῶν εἰς τόν υἱόν τοῦ Αἴσονος χάριν τιμῆς
ἕνα ὡραῖον στέφανον, τόν ὁποῖον ἔπλεξαν ἀπό κλάδους ἐλαίας πού ἔχει ἐπιμήκη φύλλα.
Εἰς ἐμέ ὁ θεϊκός Ἰάσων ἔδωσεν ὡς βραβεῖον διά τό τραγούδι μου μίαν ἐμβάδα, ἡ ὁποία ἐτεντώνετο μέ χρυσᾶ πτερύγια.
Καί ὁ ἀγών ἐτελείωσε, φήμη δέ διεπέρασε εἰς τήν οἰκίαν (τοῦ Κυζίκου)
ὅτι ὁ Κύζικος ἀπέθανε· μόλις ἤκουσεν αὐτό ἡ

σύγγαμος αἰνή,
στήθεα δρυπτομένη λίγ' ἐκώκυεν· ἀμφί δέ δειρῇ
ἀψαμένη μήρινθα, βρόχῳ ἄπο θυμόν ὄλεσσεν.
γῇ δ' ὑποδεξαμένη πλακί δάκρυα, πίδακος ἦκεν
βλύζουσ' ἀργυροειδές ὕδωρ κρήνης ἀπό μέσσης,
ἀέναον· Κλείτην δέ περικτίονες καλέουσιν.
Καί τότε δή βασιλῆες ὀνειροπόλον διά πύστιν,
(μικρόν κενόν κειμένου)
κνημόν ἐπί ζάθεον, καί Δινδύμου ἀκρώρειαν,
ὄφρα κε μειλίξαιντό οἱ εὐοίνοις ἐπιλοιβαῖς
Ῥείην πρεσβυγενή, θυμόν δ' ἀλέοιντο ἀνάσσης.
αὐτάρ ἐγών ἐπόμην, φόρμιγγα δέ χερσίν ἄειρον.
Ἄργος δ' αὖθ' ἵκανε λιπών εὐεργέα νῆα,
ὅς ρα τανυφλοίῳ ἐλάτῃ ἀμφιπλεκές ἔρνος
ἀμπέλου αὐαλέης ὀξεῖ ἀπέκερσε σιδήρῳ·
ξέσσε δ' ἐπισταμένως βρετάς ἱερόν ἱδμοσύνῃσιν,
μίμνειν ἔμπεδον αἰέν ἐπ' ἐσσομένοις ἀνθρώποις·
λάασι δ' εὐτύκτοις δωμήσατο οἶκον ἀνάσσῃ.
ἔν δ' ἄρ' ἐπειγόμενοι Μινύαι (μέγα δ' ἔξοχα πάντων

στίχοι 616-642

Αἰσονίδης) λιθάκεσσιν ἀρηρότα βωμόν ἔτευξαν,
ᾧ ἔπι ταυροθύτους λοιβάς ἠδ' ἱερά καλά
ῥέξαν ἀριστῆες· σπονδῇσι δέ τέρπετο Ῥείη.
αὐτάρ ἔμ' ἤνωγον κλῆσαι θεόν ἠδέ γερῆραι,
ὄφρα κεν ἀντομένοις νόστον μελιηδέ' ὀπάσσαι.

φοβερά σύζυγός του, καταξεσχίζουσα τά στήθη της ἐξέπεμπε λιγυρούς θρήνους προσδέσασα δέ γύρω ἀπό τόν λαιμόν της
σχοινίον, κατέστρεψε τήν ζωήν της δι' ἀπαγχονισμοῦ.
Ἡ γῆ δέ ὑποδεχθεῖσα αὐτήν εἰς μίαν πλάκα, δάκρυα ἐξ ἑνός πίδακος
ἄφησε (νά ρέουν) ἀναβλύζουσα ἀπό τό μέσον μιᾶς κρήνης ἀργυρόχρουν νερό,
τό ὁποῖον ρέει ἀκαταπαύστως· καί οἱ περίοικοι τήν ὀνομάζουν Κλείτην.
(κενόν χειρογράφου)
Καί τότε οἱ βασιλεῖς σύμφωνα μέ τό ὄνειρον (πού εἶδεν ὁ Τίφυς).
(ἀνέβησαν) εἰς τήν ἱεράν κορυφήν τοῦ ὄρους, εἰς τό ἀκρότατον μέρος (τήν ὑψηλοτέραν κορυφήν) τοῦ Δινδύμου,
διά νά ἐξευμενίσουν μέ σπονδάς ἀπό ὡραῖον κρασί
τήν Ρέαν τήν πρεσβυτάτην καί ἀπομακρύνουν τήν ὀργήν τῆς βασιλίσσης.
Ἐγώ δέ ἀκολουθοῦσα καί εἰς τά χέρια μου ἀνύψωσα τήν φόρμιγγα,
ἐξ ἄλλου δέ καί ὁ Ἄργος, ἐγκαταλείψας τό καλοφκιασμένο πλοῖον, ἤρχετο μαζί μας.
Αὐτός (ὁ Ἄργος) ἀπέκοψε μέ σιδηρένιο αἰχμηρό ἐργαλεῖον ἕνα κλάδον
(καί ὁ στίχος αὐτός πού ἀναφέρει «σιδερένιο αἰχμηρόν ἐργαλεῖον» εἶναι ἐμβόλιμος, ἤ κακῶς ἔχει καταγραφῆ, ἀφοῦ εἰς τήν ἐποχήν τῶν Ὀρφικῶν ὁ σίδηρος ἦτο ἄγνωστος)
ἀπό ἀπεξηραμμένον ἀμπέλι πλεγμένον καί ἀπό τά δύο μέρη εἰς ἕνα ὑψηλόν ἔλατον·
ἐπελέκησε δέ μέ ἐπιμέλειαν αὐτόν (τόν κλάδον) καί κατεσκεύασε μέ πεῖραν καί μέ γνῶσιν ἱερόν ξόανον (ξύλινον ὁμοίωμα τῆς θεᾶς), διά νά παραμένῃ πάντοτε (αἰωνίως) ἐκεῖ ἐμπεδωμένον ὡς μνημεῖον εἰς τούς μεταγενεστέρους ἀνθρώπους·
καί μέ καλοεπεξειργασμένους λίθους ἀνήγειραν οἶκον (ναόν) πρός τιμήν τῆς βασιλίσσης (τῆς Ρέας).

στίχοι 616-642

Σπεῦδοντες δέ (ἐν σπουδῇ) οἱ Μινύαι - κατ' ἐξοχήν δέ ἐξ ὅλων ὁ υἱός τοῦ Αἴσονος - κατεσκεύασαν βωμόν συνηρμοσμένον ἀπό σκληρούς λίθους,
ἐπάνω εἰς τόν ὁποῖον οἱ προύχοντες Μινύαι ἔκαμαν σπονδάς, συνοδευομένας ἀπό θυσίας ταύρων καί ἀπό καλά σφάγια·
ἡ δέ Ρέα ἐτέρπετο ἀπό τάς σπονδάς.
Ἔπειτα ἔδωσαν ἐντολήν εἰς ἐμέ νά ἐπαινέσω τήν θεάν καί νά τήν τιμήσω,
διά να μας δώσῃ, ὑπακούουσα εἰς τάς παρα-

ἀλλ᾽ ὅτε δέ θυέεσσι λιτῇσί τε γουνασάμεσθα,
᾽Αργῴην ποτί νῆα κατήλθομεν. ἐν δ᾽ ἄρα Τῖφυς
ἥρωας πρύμνηθεν ἐκέκλετο· σύν δ᾽ ἄρα πάντες
ἐσσύμενοι θώκοισιν ἐπί προτέροισι κάθιζον,
βάντες ὑπέρ τοίχοιο, καί εἰρεσίης μνώαντο,
ἀπροφάτως δ᾽ ἀπό γῆς στρεπτοί λύοντο κάλωες,
πείσματα δ᾽ ἡπλώθη· κραιπνόν δ᾽ ἀπό Διδύμου ἄκρης
ἴκμενον οὖρον ἐφῆκε ᾽Ρέη λιπαροκρήδεμνος.
ἡμεῖς δ᾽ αὖτ᾽ ἐπί νηῒ γεράσμια πέμπομεν ἱρά,
βωμόν ἐπιστέψαντες ἐπ᾽ ἐσσομένοισι πυθέσθαι
Πεισματίῃ, τόθι πείσματ᾽ ἐεργομένης λύθεν ᾽Αργοῦς.
Αὐτάρ ἐπεί ρ᾽ ὀθόνας ἀκάτου πλήρωσεν ἀήτης,
θῦνε διαπρήσσουσ᾽ ἁλιμυρέα κύματα πόντου,
Μύσια δέ σχεδόθεν παραμείβετο πείρατα γαίης·
αἶψα δέ ᾽Ρυνδακίους προχοάς ἤμειψε θέουσα,
καλούς τ᾽ ἐς λιμένας ψαμαθώδεας εἰσπέρησεν,
κέλσε δ᾽ ἐπ᾽ αἰγιαλῷ· προτόνοις δ᾽ ἐπί χεῖρα βαλόντες,
ἱστία μηρύσσαντο καί ἀμφ᾽ ἰμᾶσιν ἔδησαν.
κλίμακα δ᾽ ἐξώκειλαν ἐπί χθονός, ἔκ δ᾽ ἔβαν αὐτοί
σίτου καί πόσιος λελιημένοι· ἀμφί δέ κνημός
᾽Αργάνθου κατέφαινε, βαθυσκόπελοί τε κολῶναι.
Ηρακλέης δ᾽ ἠπείγετ᾽ ἀν᾽ ὑλήεντας ἐναύλους,

στίχοι 643-671

τόξον ἔχων παλάμαις ἰδέ τριγλώχινας ὀϊστούς,
ὄφρα κε θηρήσαιτο, πόροι δ᾽ ἐπί δόρπον ἑταίροις

κλήσεις μας, γλυκειά ἐπιστροφήν εἰς τήν πατρίδα.
᾽Αλλ᾽ ἀφοῦ λοιπόν ἱκετεύσαμεν τήν θεάν μέ θυμιάματα καί λιτανείας,
κατήλθομεν (ἀπό τό ὄρος) εἰς τήν ᾽Αργώ, τό πλοῖον μας. ᾽Εντός δέ τοῦ πλοίου εὑρισκόμενος ὁ Τῖφυς
ἔδιδεν ἐντολάς ἀπό τήν πρύμνην εἰς τούς ἥρωας· συγχρόνως δέ ὅλοι
ἔσπευσαν νά καθίσουν εἰς τάς προτέρας θέσεις των,
ἀφοῦ ἐβάδισαν ὑπεράνω ἀπό τό τοίχωμα τοῦ πλοίου, καί ἐνεθυμήθησαν τήν κωπηλασίαν (ἐπῆραν εἰς τά χέρια των τά κουπιά).
᾽Απροσδοκήτως δέ ἐλύθησαν ἀπό τήν γῆν (ὅπου ἦσαν προσδεδεμένα) τά στριμμένα παλαμάρια
καί ἁπλώθησαν τά σχοινιά (τά καραβόσχοινα). Καί ἀπό τήν κορυφήν τοῦ Δινδύμου
ἡ Ρέα μέ τόν λαμπρόν κεφαλόδεσμον ἄφησε νά φθάσῃ εἰς ἡμᾶς οὔριος ἄνεμος.
᾽Ημεῖς ἀφ᾽ ἑτέρου εἰς τό πλοῖον εὑρισκόμενοι στέλλομεν τιμητικά ἀφιερώματα,
στεφανώσαντες βωμόν πρός τιμήν τῆς Πεισματίας, διά να πληροφορηθοῦν οἱ μεταγενέστεροι,
ὅτι ἐδῶ ἐλύθησαν τά πείσματα (τά καραβόσχοινα) τῆς ᾽Αργοῦς, πού ἡμποδίζετο νά ἀποπλεύσῃ.
᾽Αφοῦ δέ ὁ ἄνεμος ἐγέμισε (ἐφούσκωσε) τά πανιά τοῦ πλοίου
ἔτρεχε το πλοῖον διαπερῶντας ταχέως τά κύματα τοῦ πόντου·
καί ἐκ τοῦ πλησίον παρέπλεε τά πέρατα (τά τελευταῖα μέρη) τῆς Μυσίας·
ταχέως δέ τρέχουσα (ἡ ᾽Αργώ) παρέκαμψε τάς ἐκβολάς τοῦ ποταμοῦ Ρυνδάκου
καί εἰσῆλθεν εἰς ὡραίους ἀμμώδεις λιμένας·
καί προσωρμίσθη ἐπάνω εἰς τόν αἰγιαλόν·
ἀφοῦ δέ ἔβαλαν χέρι εἰς τά ἐμπρόσθια σχοινιά κατέβασαν τά ἱστία καί τά περιέδεσαν μέ λουριά.
Μίαν δέ κλίμακα ἔβγαλαν ἔξω εἰς τήν ξηράν, καί δι᾽ αὐτῆς ἐξῆλθον οἱ ἴδιοι (εἰς τήν ξηράν),
ἐπειδή ἐπεθύμουν νά φάγουν καί νά πιοῦν· ἐφαίνετο δε γύρω ὁ λόφος
τοῦ ᾽Αργάνθου, καί τά ὑψώματα μέ τούς βαθεῖς σκοπέλους (μέ τούς ὑψηλούς βράχους).
᾽Ο δέ ᾽Ηρακλῆς ἔσπευδεν ἀνά τάς δασώδεις χαράδρας,

στίχοι 643-671

κρατῶν εἰς τά χέρια του τόξον καί βέλη πού εἶχον τρεῖς ἀκίδας (αἰχμάς),
διά νά κυνηγήσῃ καί νά παρασκευάσῃ εἰς τούς συντρόφους του τραπέζι ἀπό χοίρους ἤ ἀπό

ἢ σύας, ἢ πόρτιν κεραήν, ἢ ἄγριον αἶγα.
τοῦ δ' ἀφαμαρτήσαντος Ὕλας ἐξίκετο νηός,
λάθρῃ ἐπισπόμενος· σκολιῆς δ' ἀλίτησεν ἀταρποῦ,
ὕλῃ ἔνι πλαγχθείς, ἐν δέ σπέος ἦλυθε νυμφῶν
λειμακίδων· αἱ δέ σφιν ἐσαθρήσασαι ἰόντα
κοῦρον ἔτ' ἠΐθεον, κατερύκανον, ὄφρα σύν αὐταῖς
ἀθάνατός τε πέλοι καί ἀγήραος ἤματα πάντα.
αὐτάρ οἱ μεσάτην ἠῶ φέρον ὠκέες ἵπποι
Ἠελίου, κραιπνός δ' ἐξ οὔρεος ἔπνεεν οὖρος,
ἐν δ' ἔπεσ' ἀργενναῖς ὀθόναις. Τῖφυς δ' ἐγεγώνει
νηός ἔσω περάαν, θινός δ' ἔκ πείσματα λύειν·
οἳ δέ κυβερνητῆρος ἐφημοσύνῃσι πίθοντο.
Εἰλατίδης δ' ἀνά πρῶνα θοῶς Πολύφημος ἔβαινεν,
ὄφρα κεν Ἡρακλῆα θοῶς ἐπί νῆα καλέσσαι·
ἀλλ' οὔ οἱ ξύμβλητο· μολεῖν δέ οἱ οὔτι πέπρωτο
Φᾶσιν καλλίροον μένος ὄβριμον Ἡρακλῆος.

Αὐτάρ ὑπηῶοι λυγρήν ἐπερήσαμεν αἶαν,
ἔνθ' Ἄμυκος Βεβρύκεσσιν ὑπερφιάλοισιν ἄνασσεν·
ὅστε παναφαίου Ζηνός θέμιν οὐκ ἀλεγίζων,
ἄθλον ἐπί ξείνοισι περικτιόνων ἀνθρώπων,
ὅστις ἐπί σταθμούς ἠδ' ἀστεμφῆ δόμον ἵξοι,
θήκατο πυγμαχίης ὑπερόπλου πειρηθῆναι.
τοῦ μέν ἄρ ἠΐστωσε βίην κρατερός Πολυδεύκης,
τύψας ἀπροφάτως κεφαλήν σκληρῇσιν ἱμᾶσιν.
λαούς δ' αὖ Βεβρύκων Μινύαι χαλκῷ κατέκτεναν,
δαμάλι, πού ἔχει κέρατα, ἢ ἀπό ἀγριόγιδα.
Ἀφοῦ ὅμως αὐτός ἀπέτυχεν, ὁ Ὕλας, πού *τόν παρακολουθοῦσε κρυφά, ἔφθασεν ἀπό τό* πλοῖον·
ἀλλά τά ἔχασε εἰς κάποιο λοξό μονοπάτι
καί περιεπλανήθη εἰς τό δάσος, εἰσῆλθε δέ εἰς τό σπήλαιον τῶν νυμφῶν,
που διαβιοῦν εἰς τά λιβάδια· ὅταν δέ αὐταί (αἱ νύμφαι) εἶδαν νά προσέρχεται εἰς αὐτάς κάποιος,
πού ἦτο ἀκόμη νέο παλληκάρι, τόν ἐκράτησαν, διά νά εἶναι μαζί των ἀθάνατος καί καθ' ὅλας τάς ἡμέρας (διαρκῶς) ἀγέραστος (νέος).
Ἔπειτα οἱ ταχεῖς ἵπποι τοῦ Ἡλίου ἔφεραν εἰς τό μέσον τήν αὐγήν, ἰσχυρός δέ οὔριος ἄνεμος ἔπνεεν ἀπό τό ὄρος,
καί ἐπέπεσεν εἰς τά λευκά πανιά. Ὁ Τῖφυς ἐξ ἄλλου ἐφώναζε νά περάσουν μέσα εἰς τό πλοῖον καί νά λύσουν ἀπό τήν ἀκρογιαλιά τά καραβόσχοινα. Ἐκεῖνοι δέ ὑπήκουον εἰς τάς ἐντολάς τοῦ κυβερνήτου.
Ὁ δέ Πολύφημος, ὁ υἱός τοῦ Ἐλάτου, ἀνέβαινε ταχέως εἰς τό ὕψωμα,
διά νά καλέσῃ τόν Ἡρακλῆ νά κατέβῃ γρήγορα εἰς τό πλοῖον.
Ἀλλά δέν τόν συνήντησε· διότι δέν ἦτο πεπρωμένον νά ἔλθῃ εἰς τόν ποταμόν Φᾶσιν, πού ἔχει ὡραῖα νερά, ὁ ἰσχυρός Ἡρακλῆς. Κατά τήν αὐγήν ἐπεράσαμεν (ἐφθάσαμεν) εἰς μίαν ἀθλίαν περιοχήν,
εἰς τήν ὁποίαν ἐβασίλευεν ὁ Ἄμυκος μεταξύ τῶν ἀλαζόνων Βεβρύκων.
Αὐτός ὁ Ἄμυκος, ἀσεβῶν πρός τόν θεσμόν, τόν ὁποῖον καθιέρωσεν ὁ Ζεύς, *πού εἶναι πηγή* πάσης θεϊκῆς φωνῆς,
ἔθεσεν ἀγῶνα εἰς τούς ξένους ἐκ τῶν περιοίκων ἀνθρώπων,
ἐκεῖνος πού θά ἤρχετο εἰς τούς στάβλους του καί εἰς τό στερεόν σπίτι του
νά ἀγωνισθῇ μαζί του εἰς τήν πυγμαχίαν, διά τήν ὁποίαν ὑπερηφανεύετο.
Τοῦτον (τόν Ἄμυκον) ἐξωλόθρευσεν ὁ ἰσχυρός Πολυδεύκης, ὁ ὁποῖος τοῦ κατέφερε δυνατόν κτύπημα εἰς τό κεφάλι μέ σκληρά λουριά.
Τό πλῆθος ἐξ ἄλλου τῶν Βεβρύκων ἐφόνευσαν οἱ Μινύαι μέ χάλκινα ὅπλα.

ἔνθα δ' ἀφορμηθέντες, ὑπ' εἰρεσίῃ τε καμόντες,
Βιθυνῶν μέγα ἄστυ βαθείῃ κέλσαμεν ἀκτῇ,

στίχοι 672-700

σπεύδοντες προχοαῖς ἠδ' εἰνί νιφαργέσιν ὕλαις
ἕσπεροι αὐλισθέντες ἐφοπλίσσαι μέγα δόρπον.
ἔνθα πότ' αἰνόγαμος Φινεύς ὑπερήνορι θυμῷ
δοιούς ἐξαλάωσε γόνους, προβλῆσί τε πέτραις
θηρσίν ἔλωρ προΐθηκε γυναίων εἵνεκα φίλτρων·
τούς δέ καί ἀσκηθεῖς καί ὀπωπότας αὖθις ἔτευξαν
παῖδε κλυτοῦ Βορέω· Φινεῖ δέ οἱ ὤπασαν ἄτην
ἀργαλέοιο κότου, φωτός δ' ἀπενόσφισαν αὐγάς.
αὐτάρ οἱ ζαμενής Βορέης στροφάδεσσιν ἀέλλαις
ἁρπάξας ἐκύλινδε διά δρυμά πυκνά καί ὕλας
Βιστονίης, ἵνα κῆρ' ὀλοήν καί πότμον ἐπίσπῃ.
Αὐτάρ οἱ Φινῆος Ἀγηνορίδαο λιπόντες
αὖλιν, ὑπέρ μέγα λαῖτμα θαλάσσης ἐξικόμεσθα
ἀγχοῦ Κυανέαις πέτραις, ἃς μοί ποτε μήτηρ
ἠμετέρη κατέλεξε περίφρων Καλλιόπεια.
οὐ γάρ οἱ ὑπάλυξις ὀϊζυροῖο πόνοιο·
ἀλλά οἱ οἰγόμεναι πάλιν ἀργήεσσιν ἀέλλαις
ξυμβλῆτες πίπτουσιν ἐπ' ἀλλήλῃσιν ἰοῦσαι·
δοῦπος δ' ἄμ πέλαγός τε καί οὐρανόν εὐρύν ἵκανεν
ρηγνυμένοιο κλύδωνος, ὁρινομένης τε θαλάσσης,
κύματι παφλάζοντι· περίβρεμε δ' ἄσπετος ἅλμη·
ἀλλ' ἐγώ Ἀγνιάδῃ τάδ' ἀπό γλώσσης ἀγόρευσα,
πρύμνην οἳ θραύειν ὄφρ' ἂν πεφυλαγμένος εἴῃ.
Ἀπό ἐδῶ ἀποπλεύσαντες, ἐπειδή εἴχομεν ἀποκάμει ἀπό τόν κόπον τῆς κωπηλασίας, προσωρμίσθημεν εἰς τήν μεγάλην πόλιν τῶν Βιθύνων εἰς τό βάθος τῆς ἀκτῆς,

στίχοι 672-700

καί ἐσπεύσαμεν, ἀφοῦ κατηυλίσθημεν κατά τήν ἑσπέραν εἰς τάς ἐκβολάς τοῦ ποταμοῦ καί εἰς δάση λευκά ὡσάν τό χιόνι, νά ἑτοιμάσωμεν τό μεγάλον δεῖπνον.
Ἐδῶ κάποτε ὁ Φινεύς, πού εἶχεν ὁλέθριον γάμον, κατεχόμενος ἀπό ἀλαζονικόν θυμόν,
ἐτύφλωσε τούς δύο ἀπογόνους του καί τούς παρέθεσεν ὡς λείαν εἰς τά θηρία (διά νά τούς καταβροχθίσουν) ἐπάνω εἰς προεξέχοντας (ὑψηλούς) βράχους
ἐξ αἰτίας γυναικείων φίλτρων (γυναικείων ἐρώτων)·
αὐτούς ὅμως ἀποκατέστησαν σῶους καί τούς ἔκαμαν να βλέπουν πάλιν
τά παιδιά τοῦ ἐνδόξου Βορέου· εἰς δέ τόν Φινέα ἐπέφεραν βλάβην
διά τήν δεινήν ὀργήν καί τόν ἀπεστέρησαν ἀπό τήν ὅρασίν του.
Ἔπειτα τόν ἀνήρπασεν ὁ ὁρμητικός Βορέας ἐν μέσῳ στροβιλιζομένων θυελλῶν
καί τόν ἐκύλιεν ἀνά τούς πυκνούς δρυμούς καί τά δάση
τῆς Βιστονίας, διά νά εὕρῃ ἐκεῖ μοῖραν ὀλεθρίαν καί τύχην κακήν.
Ἔπειτα, ἀφοῦ ἐγκατελείψαμεν τό κατάλυμα τοῦ Φινέως, υἱοῦ τοῦ Ἀγήνορος,
ἐφθάσαμεν ἐπάνω ἀπό μέγα βάθος τῆς θαλάσσης,
πλησίον εἰς τάς Κυανᾶς πέτρας, περί τῶν ὁποίων κάποτε μοῦ ἔκαμε προφητικόν λόγον ἡ μητέρα μου, ἡ συνετή Καλλιόπη·
διότι δέν ὑπάρχει ὑπεκφυγή ἀπό τόν θλιβερόν ἀγῶνα.
Ἀλλ' αὐταί (αἱ Κυαναῖ πέτραι) ἀνοιγόμεναι (ἀφοῦ ἀνοίξουν), ἔρχονται ὕστερα νά συνενωθοῦν πάλιν, κινούμεναι ὑπό σφοδρῶν θυελλῶν,
καί ἐπιπίπτουν ὁρμητικῶς ἡ μία ἐπάνω εἰς τήν ἄλλην·
καί ἐπήρχετο τότε κρότος ἰσχυρός ἀνά τό πέλαγος καί τόν πλατύν οὐρανόν,
ἐνῶ ξεσποῦσε ἰσχυρά τρικυμία καί ἡ θάλασσα ἀνυψώνετο
μέ κύματα ἀφρισμένα πού ἀλληλοχτυπιόταν καί ἐβούϊζε ἡ ἀπέραντος ἁλμυρᾶ θάλασσα.
Ἀλλ' ἐγώ εἶπα μέ ἐλευθεροστομίαν εἰς τόν υἱόν τοῦ Ἀγνίου αὐτά, νά συντρίψῃ δηλαδή τήν πρύμναν, διά νά ἠμπορέσῃ νά προφυλαχθῇ.

τοῦ δέ οἱ εἰσαΐοντος ἐπαχνώθη φίλον ἦτορ,
ἐν στέρνοισι δέ κεῦθεν, ἃ οἱ τελέεσθαι ἔμελλεν,
μοῦνος ἀφ' ἡρώων· ἀλλά γλαυκῶπις Ἀθήνη
Ἥρης ἐννεσίῃσιν ἐρωδιὸν ἧκε φέρεσθαι
ἄκρην ἱστοκεραίαν· ὁ δ' ἀσχαλόων πεπότητο,
πέτραις δ' ἐν μυχάτῃσιν ὑπό πτερύγεσσιν ἀερθείς

στίχοι 701-728

δινήθη· ταί δ' αἶψα κραδαινόμεναι ἑκάτερθεν
σύμπεσον ἀλλήλῃσι, καί οὐρῆς ἄκρον ἔκερσαν
ὄρνιθος· περί δέ σφιν ἐτώσιον ἠρείσαντο.
Τῖφυς δ' ἐκπρολιπόντος ἐρωδιοῦ αἰπύν ὄλεθρον,
σῖγα μέν ἡρώεσσιν ἐκέκλετο· τοί δ' ἀΐοντες,
ἱέμενοι θοά κύμαθ' ὑπ' εἰρεσίῃσι χάρασσον.
αὐτάρ ἐγώ μολπῇσι παρήπαφον ἡμετέρῃσιν
πέτρας ἠλιβάτους· αἳ δ' ἀλλήλων ἀπόρουσαν·
κῦμα δ' ἀνερρόχθησε· βυθός δ' ὑποείκαθε νηΐ,
ἡμετέρῃ πίσυνος κιθάρῃ, διά θέσκελον ὀμφήν.
ἀλλ' ὅτε δή πορθμοῖο κατά στόμα καί διά πέτρας
Κυανέας ἤμειψε λάλος τρόπις, αὐτίκ' ἄρ' αἵ γε
βυσσόθεν ἐρριζοῦντο, καί ἔμπεδον αἰέν ἔμιμνον.
οὕτω γάρ Μοῖραι οἱ ἐπεκλώσαντο βαρεῖαι.
Καί τότε δή προφυγόντες ἀδευκέα πήματ' ὀλέθρου,
Ῥηβαίου προχοάς τε, Μέλαιναν θ' ἱκόμεθ' ἀκτήν,
νῆσον ὑπέρ δολιχήν Θυνηΐδα, τῆς ἀπάτερθεν
Τέμβριος ἰχθυόεις θαλεραῖς πλημμύρεται ὄχθαις,

Ὅταν ὅμως ἤκουσεν (ὁ Ἀγνιάδης) αὐτά, ἐπάγωσε ἡ καρδιά του,
ἀπέκρυπτε δέ εἰς τό στῆθός του ὅσα ἐπρόκειτο νά ἐκτελέσῃ,
μόνον αὐτός ἐκ τῶν ἄλλων ἡρώων· ἀλλά ἡ γαλανομμάτα Ἀθηνᾶ κατά συμβουλήν τῆς
Ἥρας ἄφησε ἕνα ἐρωδιόν (πουλί) νά ἔλθῃ εἰς τήν κορυφήν τῆς κεραίας (τῆς ἀντέννας) τοῦ ἱστοῦ· ἐκεῖνος ὅμως δυσανασχετῶν ἐπέταξε,
ἀφοῦ δέ ὑψώθη διά τῶν πτερύγων του εἰς τόν μυχόν, πού ἐσχημάτιζον αἱ πέτραι,

στίχοι 701-728

ὑπέστη περιδίνησιν· καί ἐκεῖναι, κάμνουσαι ταχύν κραδασμόν καί ἀπό τά δύο μέρη,
ἐπέπεσαν ἡ μία ἐπάνω εἰς τήν ἄλλην καί ἀπέ*κοψαν τό ἀκραῖον μέρος τῆς* οὐρᾶς
τοῦ πουλιοῦ· καί εἰς αὐτόν ματαίως ἐστηρίχθησαν.
Ὁ δέ Τῖφυς, ἀφοῦ ὁ ἐρωδιός διέφυγε τόν ἀπότομον ὄλεθρον, ἔδωσε ἐντολήν εἰς τούς ἥρωας νά ἀνακόψουν τόν πλοῦν·
ἐκεῖνοι δέ ἀκούοντες (τήν παραγγελίαν του),
ἐπειδή τό ἐπιθυμοῦσαν, ἐχαράκωναν (αὐλάκωναν) τά γρήγορα κύματα κάτω ἀπό τά κουπιά των.
Ἔπειτα ἐγώ μέ τά ἰδικά μου τραγούδια παρεπλάνησα τάς ἀποκρήμνους πέτρας (τάς Κυανᾶς)· ἐκεῖναι δέ ἀπεμακρύνθησαν ἡ μία ἀπό τήν ἄλλην,
καί τό κῦμα ἐπάφλασε (ἄφρισε), καί ὁ βυθός ὑπεχώρησεν εἰς τό πλοῖον,
πεισθείς ἀπό τήν ἰδικήν μου κιθάραν λόγῳ τῆς θεϊκῆς φωνῆς της.
Ἀλλ' ὅταν τό πλοῖον μέ τήν λαλιά διῆλθε κατά τό στόμιον τοῦ πορθμοῦ καί διά μέσου τῶν Κυανῶν πετρῶν, ἀμέσως αὐταί ἐστερεώνοντο ἀπό τόν βυθόν (τό βάθος τῆς θαλάσσης) καί παρέμεναν ἐκεῖ πάντοτε ἀμετακίνητοι.
Διότι ἔτσι καθώρισαν δι' αὐτάς αἱ αὐστηραί Μοῖραι.
Καί τότε λοιπόν, ἀφοῦ διεφύγαμεν τά πικρά παθήματα τοῦ ὀλέθρου,
ἐφθάσαμεν εἰς τάς ἐκβολάς τοῦ Ρηβαίου ποταμοῦ καί εἰς τήν Μέλαιναν ἀκτήν,
ἐπάνω ἀπό τήν ἐπιμήκη νῆσον Θυνηΐδα, μακράν τῆς ὁποίας
πλημμυρίζει εἰς τάς ἀνθηράς ὄχθας ὁ ποταμός Τέμβριος, πού ἔχει ψάρια,

Σαγγάριός θ',. ὅς κύματ' ἐπιτρέχει
'Αξείνοιο.
ἀλλ' ὅτ' ἐπ' αἰγιαλόν οἱ ἐνισσόμεθ'
εἰρεσίῃσιν,
ἀμφί Λύκοιο ῥέεθρον ἐκέλσαμεν, ᾧ ἔπι
λαοῖς
κραῖνε Λύκος ποταμοῖο φερώνυμος, ὅς
ῥ' ὑπέδεκτο
ἥρωας Μινύας, ξενίῃ δ' ἐγέρηρε
τραπέζῃ,
φίλατο δ' αὖ νύκτας τε καί ἤματα
συνεχές αἰεί.
ἔνθα καί αἶσά οἱ ἔσχε καταφθίσθαι δύο
φῶτας,
Ἴδμον' 'Αβαντιάδην, Τῖφυν τε
κυβερνητῆρα.
τοῦ μέν δή κατά σῶμα λυγρή ἠρείσατο
νοῦσος,
τόν δ' ἔκτεινεν θήρ σῦς ἄγριος· ἄν δ'
ἄρα τοῖς γε

στίχοι 729-755

τύμβους χευάμενοι πολιήν ἐπενισσόμεθ'
ἄλμην,
'Αγκαίῳ πίσυνοι· τόν γάρ φάσαν ἶδριν
ἅπαντες
ναυτιλίης σφετέρῃσι δαημοσύνῃσι
κεκάσθαι.
αὐτάρ ὅ πηδαλίων οἰήϊα λάζετο χερσίν,
νῆα κατιθύνων ἐπί Παρθενίοιο ῥέεθρα,
ὅν δή Καλλίχορόν οἱ ἐπωνυμίην
καλέουσιν,
ὅν τοι ἐγώ μύθοισιν ἐνί προτέροισιν
ἔλεξα.
ἔνθεν ἄκρην προβλῆτα παραπλώσαντες
ἔβημεν
γῆν ἐπί Παφλαγόνων, τήν οἱ παράμειψε
θέουσα
'Αργώ ὑπέρ μέγα λαῖτμα· Καραμβίην δ'
ἵκετ' ἄκρην,
ᾗ ἐπί Θερμώδων χέεται, Ἅλυός τε
ῥέεθρον,
πολλόν ἐπ' αἰγιαλόν δίνας ἁλιμυρέας
ἕλκων.

(κενόν κειμένου)

νέρθε δ' ἐπιθρώσκουσι Βορειάδος
ἀντίον ἄρκτου
μακρά Θεμισκύρης Δοιαντίδος
ἄγχι δ' 'Αμαζονίδων δαμνίππων ἄστεα
κεῖται,

καί ὁ Σαγγάριος, ὁ ὁποῖος τρέχει ἐπάνω εἰς τά
κύματα τοῦ 'Αξείνου (Εὐξείνου) πόντου.
Καί ὅταν κωπηλατοῦντες ἐφθάσαμεν εἰς τόν
αἰγιαλόν,
προσωρμίσαμεν (ἀγκυροβολήσαμεν) τό πλοῖον
γύρω ἀπό τό ρεῦμα τοῦ ποταμοῦ Λύκου· καί
εἰς αὐτήν τήν περιοχήν ἄρχων τῶν (ἐκεῖ κατοι-
κούντων) λαῶν ἦτο ὁ Λύκος,
ὁ ὁποῖος ἔφερε τό ὄνομα τοῦ ποταμοῦ, καί
ὑπεδέχθη τούς ἥρωας
Μινύας καί τούς ἐτίμησε μέ φιλόξενο τραπέζι·
τούς ἐφιλοξένησε δέ ἐπί νύκτας καί ἡμέρας
ἀδιακόπως.
'Εδῶ ὥρισεν ἡ μοῖρα νά ἀποθάνουν δύο ἄν-
δρες,
ὁ Ἴδμων, ὁ υἱός τοῦ Ἄβαντος, καί ὁ Τῖφυς, ὁ
κυβερνήτης του πλοίου.
Εἰς μέν τό σῶμα τοῦ ἑνός ἐπέπεσεν ὀλέθριον
νόσημα,
τόν δέ ἄλλον ἀπέκτεινεν θηρίον, κάποιο ἀγριο-
γούρουνο.
Πρός τιμήν αὐτῶν

στίχοι 729-755

ἀνυψώσαμεν τύμβους μέ τήν ἐπισώρευσιν
λευκῆς ἀλμύρας (ἁλατιοῦ),
ὑπακούσαντες εἰς πρότασιν τοῦ 'Αγκαίου· δι-
ότι περί τούτου (τοῦ 'Αγκαίου) ἔλεγαν ὅλοι,
ὅτι εἶχε διακριθῆ ὡς γνώστης τῆς ναυτικῆς τέ-
χνης, τήν ὁποίαν ἐδιδάχθη ἀπό τήν ἰδικήν των
ἐμπειρίαν (τοῦ Ἴδμονος δηλαδή καί τοῦ Τί-
φυος).
Ἔπειτα αὐτός (ὁ 'Αγκαῖος) ἔλαβεν εἰς τά χέ-
ρια του τό πηδάλιον καί κατηύθυνε τό πλοῖον
εἰς τά ρεύματα τοῦ Παρθενίου ποταμοῦ, τόν
ὁποῖον ἀποκαλοῦν μέ τό ἐπώνυμον Καλλίχορος.
Τοῦτον (τόν ποταμόν) ἀνέφερα ἐγώ εἰς προη-
γουμένους λόγους μου.
'Απ' ἐδῶ παραπλεύσαντες τό προεξέχον
ἀκρωτήριον ἐφθάσαμεν εἰς τήν χώραν τῶν Πα-
φλαγόνων, τήν ὁποίαν ἡ 'Αργώ τρέχουσα ὑπέ-
ράνω μεγάλου βάθους τῆς θαλάσσης προσε-
πέρασεν· ἔφθασε δέ εἰς τό ἀκρωτήριον Κα-
ραμβία,
ἐπάνω εἰς τό ὁποῖον χύνεται ὁ ποταμός Θερ-
μώδων καί τά νερά τοῦ Ἅλυος ποταμοῦ· καί ὁ
Θερμώδων σύρει εἰς μέγαλην ἔκτασιν τοῦ αἰ-
γιαλοῦ ἀνεμοστροβίλους μέ τά νερά του, πού
χύνονται εἰς τήν θάλασσαν.
'Από κάτω ἀναπηδοῦν ἀπέναντι τῆς Βορειά-
δος ἄρκτου
τά μακρά τῆς Δοιαντίδος Θεμισκύρης
(κενόν τοῦ κειμένου)

πλησίον δέ εὑρίσκονται αἱ πόλεις τῶν 'Αμαζο-
νίδων, αἱ ὁποῖαι δαμάζουν τούς ἵππους,

καί Χάλυβες. Τιβαρηνά τ' ἔθνη, λαοί τε Βέχειρες
μίγδην Μοσσύνοισι πέδον περιναιετάουσιν.
βαιά δ' ἐπιπλώσαντες ἐκέλσαμεν αἰγιαλοῖσιν ὅμουροι.
νέρθε δέ τοι Ἑλίκης δολιχός παρακέκλιται αὐχήν
ἔνθα δ' ὑπωρείῃσιν ἐπί προβλῆσι κυκλοῦνται
τηλεφανεῖς αὐλῶνες ὑπέρ μυχόν εὐρέα πόντου·
οὔ Σίνδης ὄρος αἰπύ, καί εὐθαλέες λειμῶνες·
ἔνθα δ' Ἀράξεω ρεῦμα μεγαβρεμέτου ποταμοῖο,
ἐξ οὗ Θερμώδων, Φᾶσις, Τάναΐς τε ρέουσιν·
οὔ Κόλχων κλυτά φῦλα, καί Ἡνιόχων καί Ἀβάσγων.
ὄν παραμειβόμενοι, μυχάτοις ἐπεπλείομεν ὅρμοις

στίχοι 756-782

Οὔρων, Χινδαίων τε, Χαρανδαίων, Σολύμων τε,
Ασσυρίων τε λεών, τρηχύν τ' ἀγκῶνα Σινώπης,
καί Φίλυρας, Ναπάτας τε, καί ἄστεα πυκνά Σαπείρων
Βύζηράς τ' ἐπί τοῖσιν, ἰδ' ἄξενα φῦλα Σιγύνων.
Ἵκτο δ' ὑπό πνοιαῖς ἀνέμου πλησίστιος Ἀργώ
ὄρθριος, ἐρχομένης ἠοῦς ἐπ' ἀπείρονα κόσμον,
ἐς πέρατ' Ἀξείνου, Φᾶσιν κατά καλλιρέεθρον.
αὐτάρ ἐπεί ποταμοῖο διά στόμα πρηὺ ρέοντος
ἱκόμεθ', αὐτίκα οἵ στέφανος καί τεῖχος ἐρυμνόν
Αἰήτεω κατέφαινε καί ἄλσεα· τοῖς ἐνί κῶας
χρύσεον ἠώρητο χαλαζαίῃ ἐπί φηγῷ.
Ἀγκαῖος δ' ἤνωγε, παραιφάμενος ἑπέεσσιν,
λαίφεά τε στέλλειν, καί ἐπίκριον αὖθι χαλάσσαι,
ἱστόν ἀνακλίναντας, ὑπ' εἰρεσίῃ δέ νέεσθαι.

καί οἱ Χάλυβες, τά Τιβαρηνά ἔθνη καί οἱ λαοί Βέχειρες,
οἱ ὁποῖοι κατοικοῦν γύρω ἀπό τήν πεδιάδα ἀναμίξ (μαζί) μέ τούς Μοσσύνους. Ὀλίγον δέ ἀκόμη διαπλεύσαντες προσωρμίσθημεν εἰς τούς αἰγιαλούς,
ὅπου κατῴκουν οἱ Μάκρωνες συνορεύοντες πρός τούς Μυριανδυνούς.
Κάτω ἀπό τήν Ἑλίκην ὑπάρχει μακρός, ὀλίγον ἐπικλινής αὐχήν.
Ἐδῶ δέ, ἐπάνω εἰς τάς προεξεχούσας ὑπωρείας εὑρίσκονται κυκλικῶς φαράγγια,
πού φαίνονται ἀπό μακράν, ὑπεράνω ἀπό τόν εὐρύν μυχόν τοῦ πόντου·
ἐδῶ ἐπίσης εἶναι τό ἀπόκρημνον ὄρος Σίνδης καί λιβάδια θαλερά·
ἐδῶ εὑρίσκεται καί τό ρεῦμα τοῦ Ἀράξου ποταμοῦ, πού διαρρέει μέ μεγάλον θόρυβον,
καί ἐκ τοῦ ὁποίου πηγάζουν (ἀπορρέουν) ὁ Θερμώδων, ὁ Φᾶσις καί ὁ Τάναϊς·
ἐδῶ κατοικοῦν οἱ περίφημοι φυλαί τῶν Κόλχων, τῶν Ἡνιόχων καί τῶν Ἀβάσγων.
Τοῦτον τόν ποταμόν παρακάμψαντες ἐπλέομεν εἰς τούς ὅρμους

στίχοι 756-782

τῶν Οὔρων καί τῶν Χινδαίων καί τῶν Χαρανδαίων καί τῶν Σολύμων
καί εἰς τόν λαόν τῶν Ἀσσυρίων καί εἰς τόν ἀνώμαλον ἀγκῶνα (τήν ἀνώμαλον καμπήν) τῆς Σινώπης,
καί εἰς τούς Φίλυρας καί τούς Ναπάτας καί εἰς τάς πυκνοκατῳκημένας πόλεις τῶν Σαπείρων·
προσέτι δέ εἰς τούς Βύζηρας καί εἰς τάς ἀφιλοξένους φυλάς τῶν Σιγύνων.
Ἔφθασε δέ ἡ Ἀργώ ἔχουσα φουσκωμένα τά πανιά ἀπό τά φυσήματα τοῦ ἀνέμου,
κατά τόν ὄρθρον (κατά τά χαράματα), κατά τήν ὥραν πού ἤρχετο ἡ αὐγή εἰς τόν ἀπέραντον κόσμον,
εἰς τά πέρατα (εἰς τό ἔσχατον σημεῖον) τοῦ Ἀξείνου (Εὐξείνου) πόντου, εἰς τόν Φᾶσιν ποταμόν μέ τά ὡραῖα ρεύματα.
Ἔπειτα, ἀφοῦ διήλθομεν τό στόμιον τοῦ ποταμοῦ, ὁ ὁποῖος ἔρρεεν ἡσύχως,
ἀμέσως κατεφάνησαν ὁ περίβολος καί τό ἰσχυρόν τεῖχος
τοῦ Αἰήτου καί τά ἄλση· ἐντός αὐτῶν ἦτο τό χρυσοῦν δέρας (δέρμα),
κρεμασμένον ἐπάνω εἰς μίαν βαλανιδιά, γεμάτη ἀπό κόμβους (ρόζους)·
Ὁ Ἀγκαῖος δέ τούς ἔδωσεν ἐντολή, καλοπιάνων αὐτούς μέ λόγια, νά κατεβάσουν τά πανιά καί νά χαλαρώσουν πάλιν τήν κεραίαν, ἀφοῦ δώσουν εἰς τόν ἱστόν (τό κατάρτι) κλίσιν πρός τά ἐπάνω, καί νά πλέουν κωπηλατοῦντες.

ὣς οἱ μέν τά ἕκαστα πονείαθον· αὐτάρ Ἰήσων
αὐτίκα οἱ μέρμηρε κατά φρένα καί κατά θυμόν,
ξυνῇ τ' ἐν Μινύῃσι διπλῆν ἀνενείκατο φωνήν,
ἤ οἱ ἐπ' Αἰήταο μόλοι δόμον οἷος ἀπ' ἄλλων,
μειλιχίοις στέρξοι τε παραιφάμενος ἐπέεσσιν,
ἠέ μεθ' ἡρώεσσι, καί ἐς μόθον αὐτίκα λεύσσοι·
ἀλλ' οὔ οἱ Μινύῃσιν ἐφήνδανε πᾶσι νέεσθαι·
δεῖμα δ' ἐνί φρεσί θῆκε θεά λευκώλενος Ἥρη,
ἀμβολίην θ', ἵνα οἱ τελέσῃ, τάπερ αἶσα γενέσθαι.
ὦκα δ' ἄρ' οὖλον ὄνειρον ἀπ' οὐρανοῦ ἦκε φέρεσθαι
ἐς δόμον Αἰήταο. συθείς δ' ὄγε δεῖμα πέλωρον
ἔσκηψεν βασιλῆϊ περί φρένας, ὅς οἱ ἔδοξεν
παρθένου, ἥν ἀτίταλλεν ἑνί μεγάροισιν ἑοῖσιν,

στίχοι 783-811

Μηδείης κόλποισιν ἐν ἱμερτοῖσι συθῆναι
ἀστέρα παμφανόωντα δι' ἠερίοιο πορείης.
ἣ δ' ἐπεί ἐν πέπλοισι λάβεν κεχαρηότι θυμῷ,
ἦκε φέρουσ' εἰς χεύματ' ἐϋρρείτου ποταμοῖο
Φάσιδος· ἀστέρα δι' αὖ οἱ ἀναρπάξαντα ρεέθρῳ
οἴχεσθαι πόντοιο δ' Ἀξείνοιο φέροντα.
ταῦτα δ' ἐσαθρήσας δολίου ἐξέσσυθ' ὕπνοιο
ἀπροφανές, στυγερόν δέ περί φρένας ἵκετο δεῖμα·
ἆλτο δ' ἄρ' ἐξ εὐνῆς· δμωσίν δέ οἱ ὦκ' ἐπέτελλεν
ἵππους ἐντύνειν, ὕπο δέ ζεύξασθαι ἀπήνην,
Κατ' αὐτόν τόν τρόπον (καθώς παρήγγειλεν εἰς αὐτούς ὁ Ἀγκαῖος) ἐξετέλεσαν ἐκεῖνοι κάθε ἔργον.
Ἔπειτα ὁ Ἰάσων διελογίσθη καθ' ἑαυτόν
καί ἀπηύθυνε πρός ὅλους ἀπό κοινοῦ τούς Μινύας διπλῆν φωνήν (τούς ἔθεσε δηλαδή τό δίλημμα),
ἤ νά ὑπάγῃ μόνος αὐτός ἐξ ὅλων τῶν ἄλλων εἰς τήν οἰκίαν τοῦ Αἰήτου
καί νά προσπαθήσῃ νά τόν κάμῃ νά στέρξῃ (εἰς τήν ἀπαίτησίν των), παραπλανῶν αὐτόν μέ μαλακά λόγια,
ἤ νά ὑπάγῃ μαζί μέ τούς ἄλλους ἥρωας καί νά ἀποβλέψῃ ἀμέσως εἰς μάχην.
Ἀλλά δέν ἄρεσε εἰς ὅλους τούς Μινύας νά ὑπάγουν.
Ἡ θεά ὅμως Ἥρα, πού εἶχε λευκά χέρια, ἐνέβαλεν εἰς τήν καρδίαν των φόβον
καί τήν διάθεσιν πρός ἀναβολήν (διά τήν λῆψιν ἀποφάσεως), διά νά ἐκτελέσῃ ἐκεῖνα, τά ὁποῖα καθώρισεν ἡ μοῖρα νά γίνουν.
Ταχέως λοιπόν ἄφησεν (ἡ Ἥρα) νά ἔλθῃ ἀπό τόν οὐρανόν εἰς τόν οἶκον τοῦ Αἰήτου ὁλέθριον ὄνειρον,
τό ὁποῖον καταφθάσαν ἐσπευσμένως ἐπέφερε πελώριον φόβον

στίχοι 783-811

εἰς τήν καρδίαν τοῦ βασιλέως. Εἰς αὐτόν (τόν βασιλέα) ἐφάνη ὅτι εἶδε νά κατέρχεται δρομαίως (καί νά ἐπικάθηται) εἰς τούς ποθητούς κόλπους (εἰς τήν ἀγκαλιά) τῆς παρθένου Μηδείας, τήν ὁποίαν ἀνέτρεφεν εἰς τά μέγαρά του,
ἕνα λαμπρότατον ἄστρον διά πορείας (πτήσεως), τήν ὁποίαν ἔκαμε κατά τήν πρωΐαν.
Ἐκείνη δέ, ἀφοῦ τό ἔβαλε μέσα εἰς πέπλους μέ χαρούμενη καρδιά,
ἦλθε, φέρουσα μαζί της αὐτό (τό ἄστρον), εἰς τά ὕδατα τοῦ Φάσιδος ποταμοῦ, ἀπό τόν ὁποῖον ρέουν ὡραῖα νερά·
τό ἄστρον ἀφ' ἑτέρου, ἀφοῦ ἀνήρπασεν αὐτήν (τήν Μήδειαν) ἀπό τό ρεῖθρον τοῦ ποταμοῦ,
ἔφυγε διά μέσου τοῦ Ἀξείνου πόντου μεταφέρον μαζί του καί αὐτήν.
Ἀφοῦ εἶδεν αὐτά ὁ Αἰήτης (εἰς ὄνειρον), ξεπετάχθηκε ἀποτόμως ἀπό τόν ἀπατηλόν ὕπνον,
φρικαλέος δέ φόβος κατέλαβε τήν καρδίαν του·
καί ἐπήδησε ἀπό τό κρεββάτι του· ταχέως δέ ἔδωσεν ἐντολήν εἰς τάς ὑπηρετρίας
νά ἑτοιμάσουν τούς ἵππους καί νά ζεύξουν κάτω ἀπό αὐτούς μίαν ἅμαξαν,

ὄφρα κε μειλίξαιτο κιὼν ἐπί ρεῖθρον ἐραννόν,
Φᾶσιν δινήεντα, σύν ἐνδαπίαις μίγα νύμφαις,
ψυχάς θ' ἡρώων, ὅσσαι τ' ἐπί ρεῖθρον ἄμειβον,
θυγατέρας δ' ἔκλῃζε θυώδεος ἐκ θαλάμοιο,
Χαλκιόπην σύν παισίν ἀποφθιμένου Φρίξοιο,
ἠδ' ἀπαλήν Μήδειαν, ἀριπρεπές εἶδος ἔχουσαν,
παρθένον αἰδοίην, ὄφρ' ἂν συνέποιντο κιόντι·
Ἄψυρτος δ' ἀπάνευθε δόμους ναίεσκε τοκῆος.
ἅρμα δ' ἔπι χρύσειον ἔβη μίγα θυγατέρεσσιν
Αἰήτης. τὸν δ' αἶψα δι' ἐκ πεδίου φέρον ἵπποι
χεῖλος ὑπέρ ποταμοῦ δονακώδεος, ἔνθα περ αἰεί
εὐχωλάς ρείθροισι καί ἱερά καλά κόμιζεν.
κείνῃσιν δ' ὄχθῃσιν ὑπόδρομος ἤλυθεν Ἀργώ.
τήν ρα τότ' Αἰήτης εἰσέδρακεν, ἐν δ' ἄρα πολλούς
ἐξείης ἥρωας ὁμιλαδόν ἐδριόωντας,
ἀθανάτοις ἰκέλους· περί γάρ οἱ τεύχεα λάμπεν.
τοῖσι δ' ἄρ' ἐν πάντεσσι μετέπρεπε δῖος Ἰήσων.
Ἥρῃ γάρ πέρι πάμπαν ἐτίετο, καί οἱ ἔδωκεν
κάλλος τε μέγεθός τε καί ἠνορέην ὑπέροπλον.

στίχοι 812-840

ἀλλ' ὅτε δή σχεδόν ὄντες ἐπ' ἀλλήλοις βάλον ὄσσε,
Αἰσονίδης Μινύαι τε περί φρένα παχνώθησαν.
πρόσθε γάρ Αἰήτης μέν ἐφ' ἅρματος ἠέλιος ὥς
λάμπετο μαρμαρυγῇσι περιξ χρυσέων ἀπό πέπλων·
ἀμφί δέ οἱ στεφάνη κεφαλήν ἔχε θυσσανόεσσα.
ἀκτῖσιν φλογέαις· σκῆπτρον δ' ἐν χερσίν ἐνώμα

διά νά μαλάξῃ, μεταβαίνων εἰς τά ὡραῖα νερά του,
τόν Φᾶσιν, πού ἔχει στροβιλισμούς, μαζί δέ μέ αὐτόν καί τάς ἐντοπίας νύμφας
καί τάς ψυχάς τῶν ἡρώων, ὅσαι προσήγγιζον εἰς τά νερά τοῦ ποταμοῦ.
Προσεκάλεσε δέ ὁ Αἰήτης καί τάς θυγατέρας του ἀπό τόν εὐώδη θάλαμον,
δηλαδή τήν Χαλκιόπην μαζί μέ τά παιδιά τοῦ ἀποθανόντος Φρίξου καί τήν τρυφεράν Μήδειαν, παρθένον αἰδήμονα, ἡ ὁποία εἶχε μεγαλοπρεπῆ μορφήν,
διά νά τόν ἀκολουθήσουν (τόν συνοδεύσουν) κατά τήν διαδρομήν του·
ὁ Ἄψυρτος ὅμως κατῴκει μακράν ἀπό τήν κατοικίαν τοῦ πατρός του.
Ὁ Αἰήτης δέ ἐπέβη εἰς τό χρυσοῦν ἅρμα ὁμοῦ μέ τάς θυγατέρας του·
καί τοῦτον ταχέως μετέφερον διά τῆς πεδιάδος εἰς τήν ὄχθην τοῦ ποταμοῦ μέ τά πολλά καλάμια, εἰς τό μέρος ὅπου πάντοτε μετέφερε ταξίματα πρός τιμήν τῶν ὑδάτων καί ὡραῖα σφάγια.
Ὑποκάτω δέ ἀπό ἐκείνας τάς ὄχθας πλέουσα προσήγγισεν ἡ Ἀργώ.
Τότε εἶδεν αὐτήν ὁ Αἰήτης, καί μέσα εἰς αὐτήν εἶδε βέβαια πολλούς κατά σειράν ἥρωας, καθημένους μαζί,
οἱ ὁποῖοι ἦσαν ὅμοιοι πρός τούς ἀθανάτους θεούς· διότι γύρω ἀπό αὐτούς ἔλαμπαν τά ὅπλα των.
Μεταξύ δέ ὅλων αὐτῶν διέπρεπεν ὁ θεϊκός Ἰάσων·
διότι ἐτιμᾶτο ὑπερβολικά ἀπό τήν Ἥραν, καί αὐτή τοῦ ἔδωσε κάλλος (ὁμορφιά), ἀνάστημα ὑψηλόν καί ἀνδρείαν ὑπερήφανον.

στίχοι 812-840

Ἀλλ' ὅταν, εὑρισκόμενοι πλησίον, προσήλωσαν ἀμοιβαίως τούς ὀφθαλμούς οἱ μέν εἰς τούς δέ (κοιταζόμενοι μεταξύ των),
τότε ὁ υἱός τοῦ Αἴσονος καί οἱ Μινύαι κατεπλάγησαν.
Διότι ὁ Αἰήτης καθήμενος ἐμπρός ἐπάνω εἰς τό ἅρμα ἔλαμπε καθώς ὁ ἥλιος
ἀπό τάς μαρμαρυγάς (τάς λάμψεις), πού ἐξέπεμπον γύρω του οἱ χρυσοῖ πέπλοι του·
γύρω δέ στό κεφάλι του εἶχε κροσσωτόν (φουντωντόν) στέμμα μέ λαμπράς ἀκτῖνας·
ἐκινοῦσε δέ εἰς τά χέρια του σκῆπτρον,

ἀστεροπαῖς ἴκελον· δοιὼ δ' ἑκατέρωθεν ἑήσθην
θυγατέρες· ταῖς γάρ οἱ ἀγαλλόμενος πεφόρητο.
σμερδνόν ὑπ' ὀφθαλμοῖσι δ' ἐσέδρακεν νηῒ πελασθείς,
καί οἱ ἀπό στηθέων βριαρήν ἀνενείκατο φωνήν,
δεινόν ὁμοκλήσας· μέγα δ' ἀμφιάχων ἐγεγώνει·
Φράζεσθον, οἵτινες ἐστέ, τί δέ χρέος ὔμμας ἱκάνει,
ἔκ πόθεν ἐλδομένοισι Κυτηΐδα γαῖαν ἀμεῖψαι.
οὐδ' ἄρ' ἐμήν ἀλέγοντες ἀνακτορίην πεφόβησθε
οὐδέ λεών, σκήπτροις ἐπιήρανον ἡμετέροισιν,
Κόλχων, οἵ καί Ἄρηϊ δορυσσόῳ εἰσίν ἀτειρεῖς,
ἐς μόθον ἱεμένοις εὖ εἰδότες ἴφι μάχεσθαι.
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκήν ἐγένοντο σιωπῇ.
Αἰσονίδῃ δ' ἄρα θάρσος ἐνί *παπίδεσσιν* ὄπασσεν
Ἥρη πρέσβα θεά· μέγα δ' ἀντιάχων ἐγεγώνει·
Οὔτε τι λῃστῆρες ἱκάνομεν, οὔτε οἱ ἄλλως
γαῖαν ἐπιστρωφῶντες ἐγείρομεν ὕβριος αἴσῃ
ἔργ' ἄδικ' ἀνθρώποισιν, ἃ δή πολέες μεμάασιν
τέτλαμεν ἔν βιοτῇ κέρδους ἕνεκα σφετέροιο.
ἀλλά μοι ἆθλον ἔταξε Ποσειδῶνος φίλος υἱός,
πατροκασίγνητος Πελίης, χρύσεον ποτί κῶας
λαζομένους ἀφικέσθαι ἐϋκτιμένην ἐς Ἰωλκόν,
οὐδέ τί οἱ νώνυμνοι ἐμοί ἐρίηρες ἑταῖροι·
οἵ μέν γάρ μακάρων, οἵ δ' ἡρώων γένος ἐσμέν.

στίχοι 841-869

οὐδέ τί οἱ πολέμων ἀδαήμονες οὐδέ μόθοιο,
ξεῖνοι δ' εὐχόμεθ' εἶναι ἐφέστιοι, ὥς καί ἄμεινον.

ὅμοιον πρός τούς κεραυνούς· ἑκατέρωθεν δέ ἑκάθηντο αἱ δύο θυγατέρες του· διότι ὑπερηφανευόμενος δι' αὐτάς τάς ἔφερε μαζί του.
Ὅταν δέ ἐπλησίασεν εἰς τό πλοῖον, προσέβλεψε μέ ἀγρίους ὀφθαλμούς,
καί ἀπό τό στῆθός του ἀνέπεμψεν βαρεῖαν *φωνήν ἀπευθύνων φοβεράς ἀπειλάς·* καί κραυγάζων δυνατά ἔλεγε:
Εἰπέτε ποῖοι εἶσθε καί ποία ἀνάγκη σᾶς ἔφερεν ἐδῶ,
καί ἀπό ποῦ ποίαν ἔχοντες ἐπιθυμίαν ἤλθατε εἰς τήν Κυτηΐδα γῆν.
Οὔτε λοιπόν τήν ἰδικήν μου κυριαρχίαν φοβεῖσθε καί ἀσεβεῖτε πρός αὐτήν,
οὔτε τόν λαόν τῶν Κόλχων, ὁ ὁποῖος εἶναι εὐ*χαριστημένος ἀπό τά ἰδικά μου σκῆπτρα* (τήν ἰδικήν μου ἐξουσίαν)·
αὐτοί δέ οἱ Κόλχοι εἶναι ἀκατάβλητοι καί εἰς τόν Ἄρην, πού σείει (τινάζει) τό δόρυ,
γνωρίζοντες νά μάχωνται ἰσχυρῶς, ἐάν σεῖς ὁρμήσετε εἰς μάχην.
Αὐτά τά λόγια εἶπεν (ὁ Αἰήτης), ἐκεῖνοι δέ ὅλοι ἔμειναν σιωπηλοί.
Εἰς τόν υἱόν ὅμως τοῦ Αἴσονος ἔδωσε θάρρος ἡ σεβαστή θεά Ἥρα· κραυγάζων δέ αὐτός δυνατά εἶπεν:
Οὔτε ὡς λῃσταί ἐρχόμεθα οὔτε κατά κάποιον ἄλλον τρόπον περιφερόμενοι εἰς τήν γῆν διαπράττομεν ἐξ ἀλαζονείας ἔργα ἄδικα εἰς βάρος τῶν ἀνθρώπων, τά ὁποῖα πολλοί βέβαια ἐπιθυμοῦν
νά ὑπομένουν (νά διαπράττουν) κατά τόν βίον των χάριν τοῦ ἰδικοῦ των κέρδους.
Ἀλλ' εἰς ἐμέ ὥρισεν ἀγῶνα ὁ ἀγαπητός υἱός τοῦ Ποσειδῶνος Πελίας, ἀδελφός τοῦ πατρός μου, νά *ἐπιστρέψωμεν εἰς τήν καλοκτισμένην* (τήν ὡραίαν) Ἰωλκόν φέροντες τό χρυσοῦν δέρας. Οὔτε βεβαίως εἶναι ἀνώνυμοι οἱ πιστοί μου σύντροφοι· διότι ἄλλοι μέν ἐξ ἡμῶν ἀνήκομεν εἰς τό γένος τῶν θεῶν, ἄλλοι δέ εἰς τό γένος τῶν ἡρώων.

στίχοι 841-869

Οὔτε εἴμεθα ἄπειροι τῶν πολέμων οὔτε τῆς μάχης,
καί εὐχόμεθα νά εἴμεθα φίλοι (φιλοξενούμενοι) εἰς τήν ἑστίαν σας, καθώς εἶναι τό καλύτερον.

· Ὣς φάτο, τοῦ δ᾽ ἄρα θυμός ὀρίνετο ἴσος ἀέλλῃ,
Αἰήτεω, καί σμερδνόν ἐσέδρακεν ὀφθαλμοῖσιν,
φρικτόν ἐφ᾽ ἡρώεσσι δόλον καί μῆτιν ὑφαίνων·
ὀψέ δέ οἱ Μινύῃσι τοίην ἀνενείκατο φωνήν·
Εἰ μέν κεν Κόλχοισιν ἀρηϊφάτοισιν ἐσάντα
μαρνάμενοι ἐπιθῆσθον, ἀποφθίσει μένος ἀνδρας·
ἦ ἔλπεσθ᾽, ὡς οἱ ἀδήριτον γέρας ἔσσεται ὑμῖν,
κῶας ἀειρομένους ἰέναι πρός πατρίδα γαῖαν;
εἴ νύ κε παῦροι ἐόντες ὑποκλίνθητε φάλαγγι
ἡμετέρῃ, τότε νῆα καταφθιμένοισι κεάσσω.
εἰ δέ κέ μοι πείσθησθε, τό καί πολύ κέρδιόν ἐστιν,
κρίναντες τόν ἄριστον, ἢ ὅς βασιλεύτερός ἐστιν,
ὄφρα κε πειρηθείς ἀέθλων, οὕς αὐτός ἐνίσπω,
κῶας ἕλῃ χρύσειον· ὅ καί γέρας ἔσσεται ὑμῖν,
Ὣς εἰπών ἵπποισιν ἐκέκλετο· τοί δ᾽ ἄρ᾽ ὀπίσσω
βῆσαν ἀμειβόμενοι, Μυνύαις δ᾽ ἄχος ἔπλετο θυμῷ
καί ρα τόθ᾽ Ἡρακλῆος ἔχον πόθον· οὐ γάρ ἔμιμνον
ἔθνος ἀμαιμάκετον Κόλχων καί θούριον Ἄρην.
Νῦν δέ σοι, ὦ Μουσαῖε, παραδρομάδην ἀγορεύσω,
οἷά περ αἰνόμοροι Μινύαι πάθον, ἠδ᾽ ὅσ᾽ ἔρεξαν.
ὡς τ᾽ ἄψορρος ὄρουσ᾽ ἐκ δώματος Αἰήταο
Ἄργος ἐϋμμελίης, Φρίξου παῖς, ὅν οἱ ἔτικτεν
Χαλκιόπη (τῷ γάρ παρελέξατο, πατρός ἐν οἴκῳ,
ἡνίχ᾽ ὑπέρ νώτων κριοῦ Κόλχοισιν πελάσθη)
ἀγγέλλων Μινύῃσιν, ἃ δή τελέεσθαι ἔμελλεν

Ἔτσι ἐμίλησε (ὁ Ἰάσων), τοῦ Αἰήτου ὅμως ἐξηγείρετο ἡ ὀργή ὡσάν θύελλα,
καί μέ ἀγρίους ὀφθαλμούς προσέβλεψε (τόν Ἰάσονα),
ἐξυφαίνων φρικαλέον δολερόν σχέδιον ἐναντίον τῶν ἡρώων·
ἀργά δέ ἀπηύθυνε πρός τούς Μινύας αὐτά τά λόγια:
Ἐάν βεβαίως ἐπιτεθῆτε ἐναντίον τῶν πολεμικῶν Κόλχων
μαχόμενοι πρός αὐτούς κατά μέτωπον, ἡ πολεμική μανία θά καταστρέψῃ τούς ἄνδρας.
Ἀλήθεια (πράγματι) ἐλπίζετε, ὅτι θά ἔχετε βραβεῖον ἀκαταμάχητον (ἀναμφισβήτητον),
καί ὅτι, ἀφοῦ μᾶς ἀφαιρέσετε τό δέρας, θά ὑπάγετε εἰς τήν πατρίδα σας;
Ἐάν σεῖς, πού εἶσθε ὀλίγοι, ὑποκύψετε εἰς τήν ἰδικήν μου φάλαγγα (τούς ἰδικούς μου ὁπλίτας),
τότε θά κατασυντρίψω τό πλοῖόν σας, ἐνῶ ἐσεῖς θά ἔχετε ἐξολοθρευθῆ.

Ἐάν ὅμως πεισθῆτε εἰς τούς λόγους μου, πού θά σᾶς εἴπω, τοῦτο βεβαίως θά εἶναι καί διά σᾶς πολύ συμφερώτερον·
(σᾶς προτείνω δηλαδή) νά ἐκλέξετε τόν ἄριστον ἀπό σᾶς ἤ τόν βασιλικώτερον (ἰσχυρότερον) ἀπό ὅλους σας,
διά νά λάβῃ τό χρυσοῦν δέρας, ἀφοῦ προηγουμένως προσπαθήσει νά ἐκτελέσῃ τούς ἄθλους, τούς ὁποίους ἐγώ ὁ ἴδιος θά τοῦ ὁρίσω. Τοῦτο δέ (τό χρυσοῦν δέρας) θά εἶναι βραβεῖον καί διά σᾶς. Ἀφοῦ τούς εἶπεν αὐτά τά λόγια, παρώτρυνε τούς ἵππους του (νά προχωρήσουν)· καί ἐκεῖνοι ἀπερχόμενοι ἐπροχώρησαν πρός τά ὀπίσω,
τούς δέ Μινύας κατέλαβε λύπη.

Καί τότε βεβαίως ἐπόθησαν τόν Ἡρακλῆ· διότι δέν ἠμποροῦσαν μόνοι νά ὑπομείνουν
καί νά ἀντιμετωπίσουν τόν ἰσχυρόν λαόν τῶν Κόλχων καί τόν ὁρμητικόν Ἄρην.
Καί τώρα, Μουσαῖε, θά σοῦ διηγηθῶ ἐπιτροχάδην
ποῖα ἔπαθον οἱ δυστυχεῖς Μινύαι καί ὅσα αὐτοί διέπραξαν.
Τρέχων ἦλθεν ἀπό τόν οἶκον τοῦ Αἰήτου πρός αὐτούς
ὁ Ἄργος μέ τό ὡραῖον σῶμα, υἱός τοῦ Φρίξου, τόν ὁποῖον ἐγέννησε μέ αὐτόν ἡ Χαλκιόπη· διότι ἐπλάγιασε μαζί του εἰς τόν οἶκον τοῦ πατρός της,
ὅταν ἐκεῖνος ἐπάνω εἰς τά νῶτα ἑνός κριοῦ προσεπέλασεν εἰς τήν χώραν τῶν Κόλχων·
καί ἀνήγγειλεν (ὁ Ἄργος) εἰς τούς Μινύας ὅσα ἔμελλε νά γίνουν λόγῳ τῶν ἰδικῶν των

σφῇσιν ἀτασθαλίῃσι, πολυφθόρου Αἰήταο·
ἠδ' ὡς παρθενίοις οἳ ὑπαὶ φίλτροισι δαμάσθη

στίχοι 870-898

αἰνόγαμος Μήδεια, θεᾶς Ἥρης διά βουλάς.
ἔν δέ οἱ ἵμερον ὦρσεν ἐρωτοτρόφος Κυθέρεια,
ἧκε δ' ἄρ' ἰόν ὑπό σπλάγχνοις δασπλῆτις Ἐριννύς.
ὡς τε βόας ζεύγλῃσι δαμάσσατο πῦρ πνείοντας,
τετραγύῳ θέμενος σπόρον αὔλακι, τόν ρ' ἐκόμισσεν
Φρίξος εὐμμελίης, ὅτ' ἔβη δόμον Αἰήταο,
ἔδνον Ἐνυαλίοιο δρακοντείων ἀπ' ὀδόντων·
ἠδ' ὡς δυσμενέων σπαρτῶν στάχυν ἐξενάριξεν
αὐτοφόνῳ παλάμῃ, ὥς τ' ἀγλαόν ἤρατο κῦδος
Αἰσονίδης· ὥς τ' ἦλθε δ' ἐκ μεγάρων λελαθοῦσα,
λῖτι καλυψαμένη ἐανῷ, διά νύκτερον ὄρφνην,
παρθένος αἰνολεχής, (πέρι γάρ ῥά ἑ τεῖρον ἔρωτες
νηός ἐπ' Ἀργώης πελάσαι, καί πότνι' ἀνάγκη)
οὔτιν' ὀπιζομένη, πατρός χόλον οὐκ ἀλέγουσα.
ἠδ' ὡς ἀμφιπλακεῖσα περιπτύξασά τε μορφάς,
στέρνα τε μαιμώωσα κύσεν χάριέν τε πρόσωπον,
δάκρυσι πλημμύρουσα γενειάδας· οὐδέ τιν' αἰδῶ
ἔσχε πόθων ἥρωος, ἐλαυνομένη δ' ὑπό φίλτρων
παρθενίην ἔρριψε, γάμων τ' εὐήνορα θεσμόν·
ἄλλα τε καί μάλα πολλά, τά θ' ὕστερον αὖτις ἀκούσῃ.
Ἀλλ' ὅτε δή Μήδεια λίπεν δόμον Αἰήταο
λαθριδίη, καί νηός ἐφ' ἡμετέρης ἐπελάσθη,

στίχοι 870-898

ἁμαρτιῶν εἰς τόν Αἰήτην, τόν καταστροφέα πολλῶν·
καί ὅτι ἡ ἀτυχής εἰς τόν γάμον της

στίχοι 870-898

Μήδεια ἐδαμάσθη διά παρθενικῶν φίλτρων κατά βούλησιν τῆς θεᾶς Ἥρας,
εἰς αὐτήν δέ (την Μήδειαν) διήγειρεν ἰσχυρόν ἐρωτικόν πάθος ἡ Κυθέρεια, ἡ ὁποία ἐκτρέφει τόν ἔρωτα·
ἐξετόξευσε δέ βέλος (ἐρωτικόν) κάτω ἀπό τά σπλάγχνα της ἡ φοβερά Ἐριννύς.
Καί πῶς ἐδάμασε τά βόδια, τά ὁποῖα ἀπέπνεον πῦρ, μέ τάς ζεύγλας, ἀφοῦ ἐναπέθεσεν εἰς ἕνα τετράπλεθρον (τεσσάρων στρεμμάτων) αὐλάκι σπόρον, τόν ὁποῖον ἔφερεν
ὁ Φρῖξος μέ τό ὡραῖον σῶμα, ὅταν μετέβη εἰς τόν οἶκον τοῦ Αἰήτου,
ὡς δῶρον τοῦ Ἐνυαλίου ἀπό τούς ὀδόντας τοῦ δράκοντος·
καί πῶς τῶν ἐχθρικῶν σπαρτῶν ἐξωλόθρευσε τόν στάχυν,
φονεύσας αὐτόν μέ τό δικό του χέρι, καί πῶς ἀπέκτησε λαμπράν φήμην (δόξαν)
ὁ υἱός τοῦ Αἴσονος· καί πῶς ἦλθεν ἀπό τά μέγαρά της, διαφυγοῦσα τήν προσοχήν τῶν ἄλλων, ἀφοῦ ἐκαλύφθη μέ λεῖον ἱμάτιον, κατά τό νυκτερινόν σκοτάδι,
ἡ παρθένος, πού εἶχε δυστυχισμένο κρεββάτι· διότι τήν ἐβασάνιζεν ἡ ἐπιθυμία
νά προσέλθῃ εἰς τό πλοῖον Ἀργώ, καί τήν ἐπίεζεν ἡ σεβαστή ἀνάγκη·
καί τό ἔκαμε αὐτό χωρίς νά σέβεται κανένα καί ἀδιαφοροῦσα διά τήν ὀργήν του πατρός της.
Καί πῶς αὐτή (ἡ Μήδεια) περιεπλάκη (εἰς τήν ἀγκαλιά του) καί περιέλαβεν εἰς τήν ἰδικήν της ἀγκαλιά μορφάς,
ἐπειδή διακαῶς ἐπιθυμοῦσε νά κυοφορήσῃ εἰς τά στήθη της· ὡραῖον πρόσωπον,
καί πλημμυρίζουσα μέ δάκρυα τά γένεια του·
οὔτε ἠσθάνθη ἐντροπήν
διά τόν πόθον της πρός τόν ἥρωα, ἐπειδή δέ καθωδηγεῖτο ἀπό ἐρωτικήν μανίαν
κατέστρεψε τήν παρθενικότητά της καί τόν τιμητικόν θεσμόν τοῦ γάμου.
Συνέβησαν καί ἄλλα πάρα πολλά, τά ὁποῖα θά ἀκούσῃς πάλιν ὕστερα.
Ἀλλ' ὅταν λοιπόν ἡ Μήδεια ἐγκατέλειψε λαθραίως τόν οἶκον τοῦ Αἰήτου
καί ἐπεβιβάσθη εἰς τό ἰδικόν μας πλοῖον,

δή τότε οἳ κατά θυμόν ἐμηδόμεθ', ὄφρα μολόντες
ἀμφ' ἱερῆς φηγοῖο δέρας χρύσειον ἕλωμεν.
ῥᾷστα περί φρεσί δ' ἦσι δοκεύομεν, οὐδέ τις ἡμέων
ἔγνω μόχθον ἄελπτον· ἐφέσπετο γάρ μέγα ἔργον
πᾶσιν ἐφ' ἡρώεσσι, κακῶν δ' ἀνεφαίνετο πυθμήν.
πρόσθε γάρ Αἰήταο δόμων ποταμοῖό τ' ἐραννοῦ
ἐννέ' ἐπ' ὀργυιῶν ἕρκος περιμήκετον ἄντην

στίχοι 899-927

φρουρεῖται πύργοισι καί εὐξέστοισι μύδροισιν,
ἑπτά πέρι στεφάνοισι κυκλούμενον, ἓν δ' ἄρα τρισσαί
χαλκήρεις πύλαι εἰσί πελώριοι· ἐν δ' ἄρα ταῖσι
τεῖχος ἐπιθρῴσκει, περί δ' αὖ χρύσειαι ἐπάλξεις.
αὐτάρ ἐπί σταθμοῖο πυλῶν τηλῶπις ἄνασσα
ἱστάνει αἰθύσσουσα πυρός σέλας, ἣν τε νυ Κόλχοι
Ἄρτεμιν ἐμπυλίην κελαδοδρόμον ἱλάσκονται,
δεινήν ἀνθρώποισιν ἰδεῖν, δεινήν τ' ἐσακοῦσαι,
εἰ μή τις τελετάς πελάσει καί θύσθλα καθαρμῶν
ὅσα περ ἀρήτειρα καθάρματα μύστις ἔκευθεν,
δεινολεχής Μήδεια, Κυτηϊάσιν μίγα κούραις.
οὐδέ τις ἐνδοτέρω κείνην ὁδόν εἰσεπέρησεν
ἐνδάπιος, ξεῖνός τε βροτῶν ὑπέρ οὐδόν ἀμείψας·
εἴργει γάρ πάντῃ δεινή θεός ἡγεμόνεια,
λύσσαν ἐπιπνείουσα πυριγλήνοις σκυλάκεσσιν,

τότε ἀκριβῶς ἐμηχανεύθημεν νά ἀφαιρέσωμεν
τό χρυσοῦν δέρας, πού ἦτο κρεμασμένο ἀπό τήν ἱεράν φηγόν,
μεταβαίνοντες ἐκεῖ. Αὐτά (πού ἐμηχανευόμεθα) μᾶς ἐφαίνοντο εἰς τό μυαλό μας εὐκολώτατα, ἀλλά κανείς ἀπό ἡμᾶς
δέν ὑπελόγισε τόν ἀνέλπιστον μόχθον (τόν ὁποῖον θά κατεβάλλομεν πρός εὐόδωσιν τοῦ σκοποῦ μας)· διότι τεράστιον ἔργον θά ἐπέπιπτεν
εἰς τούς ὤμους ὅλων τῶν ἡρώων, καί θά ἀπεκαλύπτετο τό βάθος (τό πλῆθος) τῶν κακῶν (πού θά συνώδευον τήν προσπάθειάν μας).

Διότι ἐμπρός ἀπό τόν οἶκον τοῦ Αἰήτου καί τοῦ ἐρατεινοῦ ποταμοῦ
ὑπῆρχε περίφραγμα ἀπέναντι (τῆς ἱερᾶς φηγοῦ) ἐκτεινόμενον εἰς μῆκος ἐννέα ὀργυιῶν,

στίχοι 899-927

τό ὁποῖον φρουρεῖται ἀπό πύργους καί ἀπό καλοξεσμένους λίθους
καί περιβάλλεται ἀπό ἑπτά στεφάνους (κύκλους). Ἐκτός δέ αὐτοῦ (τοῦ περιφράγματος) εἶναι τρεῖς
ὑπερμεγέθεις πύλαι, συνηρμοσμέναι μέ χαλκόν· καί ἐντός αὐτῶν ἀνυψώνεται ἕνα τεῖχος, τό ὁποῖον πάλιν περιβάλλεται ἀπό χρυσᾶς ἐπάλξεις (προπύργια).

Ἐπάνω εἰς τόν προστάτην (τό πλαϊνό ξύλο) τῶν πυλῶν στέκεται κάποια βασίλισσα πού φαίνεται ἀπό μακράν,
ἡ ὁποία ἀνάπτει τήν φλόγα τοῦ πυρός καί τήν ὁποίαν οἱ Κόλχοι ἐξιλεώνουν (ἐξευμενίζουν) ὡς Ἄρτεμιν ἐμπυλίαν (ὡς εὑρισκομένην ἐντός τῶν πυλῶν) καί ὡς κελαδοδρόμον (ὡς τρέχουσαν μετά μεγάλου θορύβου).

Αὐτή εἶναι διά τούς ἀνθρώπους φοβερά κατά τήν ὄψιν (φοβερόν θέαμα) καί φοβερόν (προξενεῖ φόβον) κατά τήν ἀκοήν (νά τήν ἀκούῃ κανείς),
ἐάν κάποιος δέν προσπελάσῃ προηγουμένως τάς τελετουργίας καί τά ἱερά σκεύη τῶν καθαρτηρίων τελετῶν,
ὅσα βεβαίως μέσα καθαρισμοῦ (ἐξιλασμοῦ) ἀπέκρυπτεν ἡ μεμυημένη ἱέρεια
Μήδεια, πού ὑπῆρξε δυστυχής εἰς τόν γάμον της, μαζί μέ τάς Κυτηϊάδας κόρας.

Οὔτε κανείς ἐντόπιος εἰσεχώρησε περισσότερον εἰς τό ἐσωτερικόν ἐκείνης τῆς ὁδοῦ οὔτε καί κανείς ξένος ἐπέρασε ἀπό τό κατώφλι·
διότι ἐμποδίζει ἀπό παντοῦ (νά εἰσέλθῃ κανείς) ἡ φοβερά θεά, πού ἡγεμονεύει,
καταπνέουσα λύσσαν (μανίαν) διά μικρῶν σκύλων, πού ἔχουν πύρινα μάτια.

ἐν δέ σφιν πυμάτῳ μυχῷ ἔρκεος ἄλσος ἀμείβει,
δένδρεσιν εὐθαλέεσσι κατάσκιον, ᾧ ἔνι πολλαί
δάφναι τ᾽ ἠδέ κράνειαι ἰδ᾽ εὐμήκεις πλατάνιστοι·
ἐν δε πόαι ρίζῃσι κατηρεφέες χθαμαλῇσιν,
ἀσφόδελος, κλύμενός τε, καί εὐώδης ἀδίαντος,
καί θρύον ἠδέ κύπειρον, ἀριστερεών τ᾽, ἀνεμώνη,
ὅρμινόν τε, καί εἰρύσιμον, κυκλαμίς τ᾽ ἰοειδής,
στοιχάς, παιονίη τε, πολύκνημόν τε κάτερνες·
μανδραγόρης, πόλιόν τ᾽, ἐπί δέ ψαφαρόν δίκταμνον·
εὔοδμός τε κρόκος, καί κάρδαμον· ἔν δ᾽ ἄρα κῆμος,
σμίλαξ, ἠδέ χαμαίμηλον, μήκων τε μέλαινα,
ἀλκείη, πάνακες καί κάρπασον, ἠδ᾽ ἀκόνιτον,
ἄλλα τε δηλήεντα κατά χθόνα πολλά πεφύκει.
μέσσον δ᾽ ἠερόμηκες ἐπί στύπος ἄλσεϊ πολλῷ

Εἰς δέ τό ἔσχατον μέρος τοῦ μυχοῦ τοῦ περιφράγματος ὑπάρχει ἄλσος,
κατάσκιον ἀπό θάλλοντα δένδρα, ἐντός τοῦ ὁποίου εἶναι πολλαί δάφναι καί κρανειές καί ὑψηλά πλατάνια·
μέσα εἰς αὐτό ὑπάρχουν ἐπίσης χόρτα σκεπασμένα μέ χαμηλές ρίζες,
δηλαδή ἀσφόδελος (σφερδούκλι) καί κλύμενος καί εὔοσμος ἀδίαντος
καί θρύον (βοῦρλο) καί κύπειρον καί περιστερεών καί ἀνεμώνη, ἐπίσης ὅρμινον καί εἰρύσιμον (ἄγριον κάρδαμον) καί κυκλαμίς (κυκλάμινον), πού ἔχει τήν μορφήν του ἴου (τῆς βιολέτας),
στοιχάς καί παιονία καί ρίγανη μέ πολλούς θαλερούς κλάδους.
Ἀκόμη φύονται ἐκεῖ καί μανδραγόρας καί πολιόν καί δίκταμνον, πού εἶναι εὔθραυστον·
καί κρόκος εὐώδης καί κάρδαμον· ἐπί πλέον κῆμος,
σμίλαξ (σμιλακιά) καί χαμαίμηλον (χαμομήλι) καί μήκων (παπαρούνα) ἡ μαύρη
ἀλκείη, πάνακες καί κάρπασον καί ἀκόνιτον.
Εἰς τό μέσον δέ τοῦ πυκνοῦ δάσους ἁπλώνεται ὁ πανύψηλος κορμός τῆς φηγοῦ (τῆς βαλανιδιᾶς),

στίχοι 928-956

ἥπλωται φηγοῖο, πέριξ κλαδόνεσσιν ἐραννόν.
ἔν δ᾽ ἄρα οἱ χρύσειον ἐπικρέματ᾽ ἔνθα καί ἔνθα
ὄρπηκος ταναοῖο δέρας, τό οἱ ἀμφιδοκεύει
δεινός ὄφις, θνητοῖς ὀλοόν τέρας, οὐ φατόν εἰπεῖν.
χρυσέαις γάρ φολίδεσσιν ἐθείρεται, ἔν δ᾽ ἄρα πρέμνον
ἁπλήτοις ὀλκοῖσι φορεύμενος ἀμφιπολεύει,
δεῖμα χαμαιζήλοιο Διός, ποτί κῶας ἀμείβων,
φρουραῖς τ᾽ ἀκμήτοις ἐπιμαίεται ἄμμορος ὕπνου,
γλαυκοῖς ἀμφ᾽ ὄσσοισιν ἀναιδέα κανθόν ἑλίσσων.
Αὐτάρ ἐπεί κλύομεν τόδ᾽ ἐπήτυμον, ὡς ἐτέτυκτο,

στίχοι 928-956

ὁ ὁποῖος περιβάλλεται ἀπό κλάδους, καί εἶναι ὡραῖος, εὐχάριστος νά τόν βλέπεις.
Εἰς αὐτό τό δένδρον, ἐπάνω εἰς ἕνα μακρόν κλάδον ἐπεκρέματο ἐδῶ καί ἐκεῖ τό χρυσοῦν
δέρας, τό ὁποῖον προφυλάττει
ἕνας φοβερός ὄφις, καταστρεπτικόν διά τούς ἀνθρώπους τερατόμορφον θηρίον, τό ὁποῖον δέν εἶναι δυνατόν νά περιγράψω ἀκριβῶς.
Κοσμεῖται δηλαδή μέ χρυσᾶς φολίδας (λέπια), ἐντός δέ τοῦ ἄλσους
ἀνεβοκατεβαίνει εἰς τόν κορμόν τοῦ δένδρου ἑλισσόμενος μέ φοβαράς κινήσεις,
καί εἶναι τό φόβητρον τοῦ ὑποχθονίου Διός (τοῦ Πλούτωνος)· καί προχωρεῖ πρός τό δέρμα καί τό χαϊδεύει, παραμένων ἄϋπνος λόγῳ τῆς συνεχοῦς φρουρήσεως,
καί γύρω ἀπό τά γλαυκά (γαλανά) μάτια του περιφέρει ἑλικοειδῶς τόν σκληρόν κανθόν (τά ἄκρα τῶν ὀφθαλμῶν του).
Ἀφοῦ δέ ἠκούσαμεν αὐτήν τήν ἀλήθειαν, πῶς δηλαδή ἦτο κατεσκευασμένον

ἀμφί τε Μουνυχίης Ἑκάτης, φρουρῆς τε δράκοντος,
πάνθ' ὅσα οἱ κατέλεξεν ἀριφραδέως Μήδεια,
διζόμεθ' οἶμον ἄελπτον ὀϊζυροῖο πόνοιο,
ὥς κέ οἱ Ἀγροτέρην μειλιξάμενοι πεπίθοιμεν,
ἠδ' ὡς θῆρα πέλωρον ἱκοίμεθα, τόφρ' ἀνελόντες
δέρμ' ἀπονοστήσαιμεν ἐήν ἐς πατρίδα γαῖαν.
καί τότε δή μετά πᾶσιν ὁμόκλεεν ἡρώεσσιν
Μόψος (ὅ γάρ τ' ἐδάη σφῆσιν τάδε μαντοσύνῃσιν)
ὄφρ' ἐμέ γουνάσσωνται, ἐπιστείβουσί οἱ ἔργον
Ἄρτεμιν ἱλεῖσθαι, θέλξαι θ' ὑπερήνορα θῆρα.
ὣς οἱ μέν λίσσοντο περισταδόν· αὐτάρ ἔγωγε
Αἰσονίδην ἐκέλευσα, δύω θ' ἅμα φῶτε κραταιώ,
Κάστορά θ' ἱππόδαμον καί πύξ ἀγαθόν Πολυδεύκεα,
Μόψον τ' Ἀμπυκίδην, ἰέναι πρός *τέρματα μόχθου.*
αὐτάρ ἐμοί Μήδεια συνέσπετο μούνη ἀπ' ἄλλων,
ἡνίκα δ' εἰς σηκούς ἱκόμην ζάθεόν τε θεράπνην,
χώρῳ ἐπί πλακόεντι βόθρον τρίστοιχον ὄρυξα,
φιτρούς τ' ἀρκεύθοιο καί ἀζαλέης ἀπό κέδρου,
ῥάμνου τ' ὀξυτέροιο, πολυκλαύτων τ' αἰγείρων,

στίχοι 957-985

ὦκα φέρων, νήησα πυρήν ἔντοσθε βόθροιο.
πολλά δέ μοι φέρε φάρμακ' ἐπισταμένη Μήδεια,
φωριαμῶν ἀνελοῦσα θυώδεος ἐξ ἀδύτοιο.
αὐτίκα δ' οὐλοπλάσμαθ' ὑπό πλέκτοις ἐπονεύμην,
ἐν δέ πυρῇ ἐνέβαλλον, ἰδ' ἔντομα *θύματ ἔρεζον,*
σκύμνους παμμέλανας σκυλάκων

(τό περίφραγμα) καί περί τῆς Μουνυχίας Ἑκάτης καί περί τῆς φρουρήσεως τοῦ δέρματος ἀπό τόν δράκοντα, ὅλα δηλαδή ὅσα μᾶς ἐξέθεσε μέ σαφήνειαν ἡ Μήδεια,

ἐπεζητοῦμεν ἀπροσδόκητον ὁδόν τοῦ θλιβεροῦ ἀγῶνός μας, πῶς θά ἠμπορέσωμεν νά πείσωμεν τήν Ἀγροτέραν (τήν κυνηγόν θεάν), ἀφοῦ τήν ἐξευμενίσωμεν,
καί πῶς θά κατορθώσωμεν νά εἰσχωρήσωμεν παραπλανῶντες τό πελώριον θηρίον, ὥστε νά ἀφαιρέσωμεν
τό δέρμα καί νά ἐπανακάμψωμεν εἰς τήν πατρικήν μας γῆν.

Καί τότε λοιπόν ἐφώναξεν εἰς τό μέσον ὅλων *τῶν ἡρώων* ὁ Μόψος – διότι αὐτός *τά* ἔμαθεν αὐτά ἀπό τήν ἰδικήν του μαντικήν τέχνην - διά νά παρακαλέσουν ἐμέ, ἐνῶ θά ἐβάδιζον εἰς τήν ἐκτέλεσιν τοῦ ἔργου,
νά ἐξιλεώσω τήν Ἄρτεμιν *καί νά μαγεύσω μέ* τό τραγούδι μου το ἀλαζονικόν θηρίον.

Καί πράγματι ἐκεῖνοι ἱστάμενοι γύρω μου μέ παρεκάλουν· ἐγώ δέ προέτρεψα τόν υἱόν *τοῦ Αἴσονος νά ὁρίσῃ δύο συνάμα ἰσχυρούς* ἄνδρας,
τόν Κάστορα τόν ἱπποδαμαστήν καί τόν ἔξοχον πυγμάχον Πολυδεύκη,
καί τόν Μόψον, τόν υἱόν τοῦ Ἄμπυκος, οἱ ὁποῖοι νά προχωρήσουν πρός τό τέρμα (νά φέρουν δηλαδή εἰς πέρας) τοῦ ἐπιμόχθου ἔργου.
Ἡ δέ Μήδεια μόνη αὐτή ἀπό τούς ἄλλους μέ ἀκολουθοῦσε·
καί ὅταν ἔφθασα εἰς τούς περιγραμμένους τόπους καί εἰς τήν ἱεράν κατοικίαν,
ἔσκαψα εἰς ἕνα χῶρον πλατύν λάκκον εἰς τρεῖς σειράς,
μεταφέρων δέ ταχέως κορμούς ἀπό ἄρκευθον καί ἀπό ἀπεξηραμμένον κέδρον
καί ἀπό αἰχμηρόν ράμνον (ἀπό παλιούρι) καί ἀπό λεύκας, πού κλαίουν πολύ,

στίχοι 957-985

τούς ἐπεσώρευσα ἐντός τοῦ λάκκου καί ἄναψα φωτιά. Ἡ δέ Μήδεια μοῦ ἔφερε πολλά φάρμακα, τά ὁποῖα ἐγνώριζε
καί τά ἔπαιρνε ἀπό τά κιβώτια, πού εὑρίσκοντο *εἰς τό εὔοσμον ἄδυτον (εἰς τό ἐσώτατον μέ*ρος τοῦ ναοῦ).

Ἔπειτα ἑτοίμασα πλαστάρια (πίττες) ἀπό κριθάρι μέσα εἰς πλεκτά σκεύη καί τά ἔβαλα *εἰς τήν φωτιά καί προσέφερα θυσίαν, ἀφοῦ* ἔσφαξα τρεῖς κατάμαυρους μικρούς σκύλους.

τρισσούς ἱερεύσας.
αἵματι δ᾽ αὖ χάλκανθον ἰδὲ στρουθεῖον ἔμιξα,
κνῆκόν τε, σχιστήν τ᾽, ἐπί τε ψυλλεῖον ἀηδές,
ἄγχουσάν τ᾽ ἐρυθρήν, ἰδὲ χάλκιμον.
αὐτάρ ἔπειτα
νηδύας ἐμπλήσας σκυλάκων, φιτροῖς ἐπέθηκα·
ὕδατι δ᾽ αὖ λοιβάς χεόμην περί βόθρον,
ὄρφνινά θ᾽ ἑσσάμενος φάρη, καί ἀπεχθέα χαλκόν
κρούων ἐλισάμην. αἳ δ᾽ ὀτραλέως ὑπάκουσαν,
ῥήξασαι κενεῶνας ἀμειδήτοιο βερέθρου,
Τισιφόνη τε καί Ἀληκτώ καί δῖα Μέγαιρα,
πεύκαις ἀζαλέαις φόνιον σέλας αἰθύσσουσαι.
καίετο δ᾽ αὐτίκα βόθρος, ἐπεσμαράγει δ᾽ ὁλοόν πῦρ·
λιγνύς δ᾽ αἰθαλόεσσα χύθη περιμηκέϊ καπνῷ.
αὐτίκα δ᾽ ἐξ Ἀΐδαο διά φλογός ἠγέρθησαν
δειναί θαμβήτειραι, ἀπηνέες, ἀσπροσόρατοι.
ἥ μέν γάρ δέμας ἔσχε σιδήρεον, ἣν καλέουσιν
Πανδώρην χθόνιοι· σύν δ᾽ αἰολόμορφος ἵκανεν,
τρισσοκάρηνος, ἰδεῖν ὁλοόν τέρας, οὔτι δαϊκτόν,
Ταρταρόπαις Ἑκάτη· λαιοῦ δέ οἱ ἔσσετ᾽ ἐπ᾽ ὤμου
ἵππος χαιτήεις· κατά δεξιά δ᾽ ἦεν ἀθρῆσαι
λυσσῶπις σκυλάκαινα· μέση δ᾽ ὄφις ἀγριόμορφος,
χερσίν δ᾽ ἀμφοτέραις ἔχεν ἄορα κωπήεντα.
ἐγκύκλιαι δίνεον δέ πέριξ βόθρον ἔνθα καί ἔνθα
Πανδώρη Ἑκάτη τε· συνεσσεύοντο δέ Ποιναί.

στίχοι 986-1014

ἓν δ᾽ ἄφαρ Ἀρτέμιδος φρουρόν δέμας ἦκε χαμᾶζε

Ἀνέμειξα ἀφ᾽ ἑτέρου μέ αἷμα χάλκανθον καί στρουθεῖον
καί κνῆκον καί σχιστήν, ἐπάνω δέ εἰς αὐτά ἔρριψα ἀηδιαστικόν ψυλλεῖον (ψυλλόχορτο)
καί κόκκινη ἄγχουσαν καί χάλκιμον. Ἔπειτα δέ,
ἀφοῦ ἐγέμισα μέ αὐτό τό μεῖγμα τάς κοιλίας τῶν μικρῶν σκύλων,
τάς ἐτοποθέτησα ἐπάνω εἰς τούς κορμούς·
ἀφοῦ δέ πάλιν τά ἀνέμειξα μέ νερό, ἔχυσα σπονδάς γύρω ἀπό τόν βόθρον
καί ὕστερα ἐφόρεσα μαῦρα ἐνδύματα καί κρούοντας τόν μισητόν χαλκόν
ἀπηύθυνα ἱκεσίας (παρακλήσεις). Ἐκεῖναι δέ ταχέως μέ εἰσήκουσαν καί μέ προθυμίαν,
ἀφοῦ διέρρηξαν τούς κενούς τόπους τού ἀγέλαστου βαράθρου,
δηλαδή ἡ Τισιφόνη καί ἡ Ἀληκτώ καί ἡ σεβαστή Μέγαιρα,
μέ ἀπεξηραμμένα πεῦκα ἤναπτον φονικήν φλόγα.
Ἀμέσως δέ ἐκαίετο (ἐπῆρε φωτιά) ὁ λάκκος καί ἐκροτοῦσε τό καταστρεπτικόν πῦρ·
καί μία φλόγα μαυρισμένη διεχύθη εἰς τόν καπνόν, που εἶχε λάβει μεγάλην ἔκτασιν.
Ἐκ δέ τοῦ Ἅδου ἀνεπήδησαν διά μέσου τῆς φλογός
μορφαί φοβεραί, ἐκπληκτικαί, σκληραί, πρός τάς ὁποίας δέν ἠμποροῦσε νά προσβλέψῃ κανείς.
Διότι ἡ μέν μία εἶχε σιδερένιο σῶμα, αὐτήν δέ οἱ ἄνθρωποι ὀνομάζουν Πανδώραν· μαζί δέ μέ αὐτήν ἤρχετο καί μία ἐξαστράπτουσα μορφή,
ἡ ὁποία εἶχε τρία κεφάλια, τέρας ὀλέθριον κατά τήν ὄψιν, ἀκαταμάχητον,
ἡ Ἑκάτη, θυγάτηρ τοῦ Ταρτάρου· πρός τό ἀριστερόν δέ μέρος αὐτῆς ἐπεκάθητο ἐπί τοῦ ὤμου
ἵππος μέ μεγάλην χαίτην· πρός δέ τά δεξιά ἦτο μία μικρά σκύλα μέ ὄψιν λυσσασμένην· εἰς τό μέσον ἦτο ἕνας ὄφις μέ ἀγρίαν μορφήν,
εἰς τά δύο δέ χέρια της ἐκρατοῦσε ξίφη μέ λαβάς. Καί κυκλικῶς γύρω ἀπό τόν λάκκον ἐδῶ καί ἐκεῖ ἐκινοῦντο
ἡ Πανδώρα καί ἡ Ἑκάτη· συναικολουθοῦσαν δέ αἱ Ποιναί.

στίχοι 986-1014

Αἴφνης ἦλθε κάτω ἡ Ἄρτεμις, πού ἐφρουροῦσε τό δέρας,

πεύκας ἐκ χειρῶν, ἐς δ' οὐρανόν ἤραρεν ὄσσε.
σαῖνον δέ σκύλακες πρόπολοι, λύοντο δ' ὀχῆες
κλείθρων ἀργαλέων, ἄνα δ' ἔπτατο καλά θύρετρα
τείχεος εὐρυμενοῦς, ὑπεφαίνετο δ' ἄλσος ἐραννόν.
αὐτάρ ἐγών ὑπέρ οὐδόν ἔβην· τῆμος δέ τε κούρη
Αἰήτεω Μήδεια, καί Αἴσονος ἀγλαός υἱός,

Τυρναρίδαι τ' ἤπειγον ὁμοῦ, σύν δ' ἕσπετο Μόψος,
ἀλλ' ὅτε δή σχεδόθεν κατεφαίνετο φηγός ἐραννή,
κρηπίς τε ξενίοιο Διός καί βώμιος ἕδρη,
ἔνθα δράκων ὀλκοῖσιν ὑπ' ἀπλήτοισιν ἑλιχθείς
δινεύων ἀνάειρε κάρη βλοσυρόν τε γένειον,
ἄν δ' ὀλαόν σύριξ'· ἔπι δ' ἔβραχεν ἄσπετος αἰθήρ,
δένδρεα δ' ἐσμαράγησε κραδαινόμενα· ἔνθα καί ἔνθα
πρυμνόθεν ἐκ ῥίζης· ἰάχησε δέ σύσκιον ἄλσος.
αὐτάρ ἔμ' ἠδ' ἑτάρους τρόμος ἔλλαβε· νόσφι δέ μούνη

Μήδει' ἐν στέρνοισιν ἀκαμπέα θυμόν ἐνώμα·
δρέψατο γάρ παλάμῃσι λυγρῶν ἀποθρίσματα ριζῶν.
καί τότ' ἐγώ φόρμιγγος ἐφήρμοσα θέσκελον ὀμφήν·
κλάγξας δ' ἐξ ὑπάτης χέλυος βαρυηχέα φωνήν
σιγαλέην ἄφθεγκτον ἐμοῖς ὑπό χείλεσι πέμπον.
κλῆξα γάρ ὕπνον ἄνακτα θεῶν πάντων τ' ἀνθρώπων,
ὄφρα μολών θέλξειε μένος βριαροῖο δράκοντος.
ῥίμφα δέ μοι ὑπάκουσε, Κυτῃΐδα δ' ἵκτ' ἐπί γαῖαν,
κοιμήσας δ' ὄγε φῦλα πανημερίων ἀνθρώπων,
καί ζαμενεῖς ἀνέμων πνοιάς, καί κύματα πόντου,

κρατοῦσα πεῦκα εἰς τά χέρια της, καί ἀνύψωσε τά μάτια εἰς τόν οὐρανόν.
Περιέσαινον (περιέβαλλον φιλικῶς) δέ αὐτήν σκυλάκια ὑπηρετικά, καί ἐλύοντο οἱ δεσμοί
τῶν βαρέων κλειδιῶν, ἀνοίγοντο δέ αἱ ὡραῖαι πύλαι
τοῦ ἰσχυροῦ τείχους καί ἤρχισε νά φαίνεται τό λαμπρόν ἄλσος.
Ἐγώ δέ ἐπροχώρησα ὑπεράνω ἀπό τό κατώφλι· καί τότε ἡ κόρη τοῦ Αἰήτου Μήδεια καί ὁ λαμπρός υἱός τοῦ Αἴσονος
καί οἱ υἱοί τοῦ Τυνδάρου ἔσπευδον μαζί, τούς ἀκολουθοῦσε δέ ὁ Μόψος.
Ἀλλ' ὅταν ἀπό πλησίον ἐφαίνετο καθαρά ἡ ὡραία φηγός
καί τό κρηπίδωμα τοῦ Διός, πού προστατεύει τούς ξένους, καί ἡ ἕδρα τοῦ βωμοῦ,
εἰς αὐτό τό μέρος ὁ δράκων (ὁ ὄφις) περιελιχθείς κάτω εἰς τάς ἀπροσίτους θέσεις του
ἐκίνησε τό κεφάλι του καί τότε ἐσήκωσε καί τό ἄγριον γένειόν του
καί ἐξαπέλυσε σφύριγμα δυνατόν καί ἀπαίσιον· ἐβρόντησε δέ ὁ ἀπέραντος αἰθήρ
καί τά δένδρα τινασσόμενα ἐδῶ καί ἐκεῖ ἀπό τό βάθος τῆς ρίζης των ἔκαμαν θόρυβον·
καί ἀντηχησε τό σκιερόν ἄλσος.
Ἐμέ δέ καί τούς συντρόφους μου κατέλαβε τρόμος· καί μόνον ἡ Μήδεια μακράν ἀπό μᾶς
περιέφερεν εἰς τό στῆθός της καρδίαν ἀκαμπτον (ἀκατανίκητον)·
διότι ἀτάραχη ἔκοψε μέ τά χέρια της ἀποφλούδια ἀπό πικρές ρίζες.
Καί τότε ἐνηρμόνισα τήν θεϊκήν φωνήν τῆς φόρμιγγος,
καί ἀφοῦ ἤχησα ἀπό τήν ἀνωτάτην χορδήν τῆς λύρας, ἐξέπεμπον βαρύηχον φωνήν,
σιγαλήν, ἀνεκλάλητον, κάτω ἀπό τά χείλη μου·
διότι ἐκάλεσα τόν ὕπνον, τόν βασιλέα ὅλων τῶν θεῶν καί τῶν ἀνθρώπων,
διά νά ἔλθῃ καί μαγεύσῃ τήν μανίαν τοῦ ἰσχυροῦ δράκοντος.
Ἀμέσως ἐκεῖνος (ὁ ὕπνος) μέ εἰσήκουσε καί ἦλθεν εἰς τήν Κυτῃΐδα χώραν·
ἀφοῦ δέ αὐτός ἀπεκοίμισε τάς φυλάς τῶν ἀνθρώπων, πού ἐργάζονται ὁλημερίς,
καί τάς ἰσχυράς πνοάς τῶν ἀνέμων καί τά κύματα τῆς θαλάσσης

πηγάς τ' ἀενάων ὑδάτων, ποταμῶν τε ρέεθρα,
θῆράς τ' οἰωνούς τε, τά τε ζώει τε καί ἕρπει,
εὐνάζων ἤμειψεν ὑπό χρυσέαις πτερύγεσσιν.

στίχοι 1015-1043

ἷξε δ' ἐπί στυφελῶν Κόλχων εὐανθέα χῶρον·
κῶμα δ' ἄφαρ κατέμαρψε πελωρίου ὄσσε δράκοντος,
ἰσοπαλές θανάτῳ· δολιχήν δέ τέ οἱ χθονί δειρήν
θῆκε καρηβαρέων φολίσιν. θάμβησε δ' ἰδοῦσα
αἰνόποτμος Μήδεια· καί Αἴσονος ἀγλαόν υἷα
ἧκ' ἐπιθαρσύνουσα θοῶς πρέμνοιο λαβέσθαι
κῶας χρυσεόμαλλον. ὃ δ' οὐκ ἀπίθησεν ἀκούσας·
αὐτάρ ἀειράμενος δέρας ἅπλετον ἷκτ' ἐπί νῆα.
Ἥρωες Μινύαι μέγ' ἐγήθεον, ἂν δ' ἄρα χεῖρας
ἀθανάτοις ἤειραν, οἵ οὐρανόν εὐρύν ἔχουσιν.
ὣς οἵ μέν πέρι κῶας ὀπώπεον· αἶψα δ' Αἰήτης
ἀμφιπόλων ἤκουσεν ἀποιχομένην Μήδειαν
ὦκα δ' ἄρ' Ἀψύρτῳ ἐπετέλλετο λαόν ἀγεῖραι,
μαστεύειν οἵ παῖδα κασιγνήτην καί ὄπατρον·
ἀλλά οἱ ὠκύς ἔπειγε παρά προχοάς ποταμοῖο
ἐς λόχον ἡρώων, ἔκιχεν δ' ἄρα παρθένον αἰνήν.
νύξ δέ οἱ ἀστροχίτων μέσσην παράμειβε πορείαν.
ἐκ δ' ἐτελεῖτο δόλος στυγερός καί κῆρες ἀΐδναί,
Μηδείης ὑπ' ἔρωτος, ἐρικλύτοῦ Ἀψύρτοιο,
ὅν ρα κατακτείναντες ἐπί προχοάς μεθέηκαν
ὀρνυμένου ποταμοῖο· φέρεν δ' ὄγε κύματι κραιπνῷ
καί τάς πηγάς τῶν ἀδιαλείπτως (τῶν συνεχῶς) ρεόντων ὑδάτων καί τά ρεύματα τῶν ποταμῶν, τά θηρία καί τά πετεινά, ὅσα ζοῦν καί ἕρπουν, κατακοιμίζων τά πάντα ἐπέρασε πετῶντας μέ τάς χρυσᾶς πτέρυγάς του.

στίχοι 1015-1043

Καί ἦλθεν εἰς τήν χώραν τῶν σκληρῶν Κόλχων, πού ἔχει ὡραῖα ἄνθη· καί ἀμέσως ἰσχυρά ὑπνηλία, ἰσοδύναμος μέ τόν θάνατον, κατέλαβε τά μάτια τοῦ πελωρίου δράκοντος,
καί ἀκούμπησε τόν μακρόν τράχηλόν του εἰς τήν γῆν
καί ἔχων βαρύ κεφάλι τόν ἐτοποθέτησε μεταξύ τῶν φολίδων του.
Ἡ δέ Μήδεια μέ τήν κακήν τύχην κατεπλάγη, ὅταν εἶδε αὐτό· καί προσῆλθεν εἰς τόν λαμπρόν υἱόν τοῦ Αἴσονος
καί τόν ἐνεθάρρυνε νά σπεύσῃ ταχέως καί νά παραλάβῃ ἀπό τόν κορμόν τοῦ δένδρου τό (ἐπικρεμάμενον ἐπάνω εἰς αὐτόν) χρυσόμαλλον δέρας. Ἐκεῖνος δέ, ἀφοῦ τήν ἤκουσεν, ἐπείσθη εἰς τά λόγια της·
καί ἀμέσως, ἀφοῦ ἐπῆρε εἰς τά χέρια του τό μέγα δέρας, ἔφθασεν εἰς το πλοῖον.

Οἱ ἥρωες Μινύαι κατείχοντο ἀπό μεγάλην χαράν (διά τήν πρᾶξιν τοῦ Ἰάσονος), καί ἀνύψωσαν τά χέρια των
πρός τούς ἀθανάτους θεούς, οἱ ὁποῖοι κατοικοῦν εἰς τόν εὐρύν οὐρανόν.

Αὐτοί λοιπόν οἱ Μινύαι εἶχον ἐστραμμένα τά μάτια των πρός τό δέρμα· ἀλλ' ἀμέσως ὁ Αἰήτης
ἤκουσεν ἀπό τάς ὑπηρετρίας του, ὅτι ἡ Μήδεια ἔφυγε·
καί ταχέως ἔδωσεν ἐντολήν εἰς τόν Ἄψυρτον νά συγκεντρώσῃ τόν λαόν,
διά νά ἀναζητήσῃ τήν θυγατέρα του, ἀδελφήν του γνησίαν καί ὁμοπάτριον (ἀπό τόν ἴδιον πατέρα).

Ἀλλ' αὐτός (ὁ Ἄψυρτος)
μέ ταχύτητα ἔσπευδε πρός τάς ἐκβολάς τοῦ ποταμοῦ
εἰς τόν λόχον τῶν ἡρώων, συνήντησε δέ ἐκεῖ τήν φοβεράν Νύξ, ἡ ὁποία ἔχει χιτῶνα ὑφασμένον ἀπό τά ἄστρα, διήνυε τό μέσον τῆς πορείας της (ἦσαν δηλαδή μεσάνυκτα),
ὅταν ἐξετελεῖτο μισητόν δόλιον σχέδιον καί μοῖραι κακαί,
ἐμπνευσμένον ἀπό τόν ἔρωτα τῆς Μηδείας, εἰς βάρος τοῦ ἐξακουστοῦ Ἀψύρτου· τοῦτον, ἀφοῦ τόν ἐφόνευσαν, τόν ἄφησαν εἰς τάς ἐκβολάς
τοῦ ποταμοῦ, τοῦ ὁποίου τά ὕδατα ἦσαν ἐξυψωμένα· τόν παρέσυρε δέ ὁ ποταμός μέ ὁρμητικόν ρεῦμα

θεινόμενον δίναις δ' εἰς κῦμ' ἁλός ἀτρυγέτοιο
κέλσεν ὑπέρ νήσων, Ἀψυρτίδας ἃς καλέουσιν.
ἀλλά οἱ οὔτι λάθον Δι' ἐπόψιον, οὐδέ θέμιστας.
αὐτάρ ἐπεί νηός μέν ἔσω κίον, ἡδ' ἑκάτερθεν
ὄχθης πείσματ' ἔκοψαν, ὑπ' εἰρεσίῃσι θοῇσιν
πλεῖον ἐπειγόμενοι ποταμοῦ τόμον· οὐδέ κατ' ἰθύ
πόντον ἐπ' ἰχθυόεντα διά στόμα Φάσιδος εὐρύ
ἱέμεθ'· ἀμπλακίῃ δέ φορεύμεθα πολλόν ὀπίσσω

στίχοι 1044-1072

αἰέν ἀναπλείοντες· ἐλείπετο δ' ἄστεα Κόλχων
ἀφραδέσιν Μινύαις, δνοφερή δέ σφ' ἄμπεχεν ὄρφνη.
αὐτάρ ἐπειγόμενοι θέομεν ῥόον ἀφραδίῃσιν.
μεσσάτιοι πεδίοιο· βροτοί δέ μιν ἀμφινέμονται
Γυμνοί, Βουονόμαι τε, καί Ἄρκυες ἀγροιῶται,
Κερκετικῶν τ' ἀνδρῶν φῦλον, Σινδῶν τ' ἀγερώχων·
οἵ νάσσαντο μεσηγύ Χαρανδαίων αὐλώνων,
Καυκάσιον παρά πρῶνα, διά στεινῆς Ἐρυθείας.
ἀλλ' ὅτ' ἀπ' ἀντολίης ἐφάνη τερψίμβροτος ἠώς,
ποιανθεῖ νήσῳ προσεκέλσαμεν· ἔνθα τε δισσά
χεύμασιν ἀπλήτοισι περισχίζουσι ῥέεθρα
Φᾶσις τ' εὐρυμενής, ἀκαλαρρείτης τε Σαράγγης·
τόν ῥα πλημμύρουσα διά χθονός εἰς ἅλα πέμπει
Μαιῶτις καναχηδόν ἐλειονόμου διά ποίης.
καί τόθ' ὑπ' εἰρεσίῃ πλέομεν διά νύκτα καί ἦμαρ·
δισσαῖς δ' ἐν τριμόροισι Βοός πόρον· ἐξικόμεσθα,
λίμνης ὄντα μεσηγύ, βοοκλόπος οὔ ποτε Τινάν

καί πληττόμενον ἀπό τούς στροβίλους του τόν ἔφερεν εἰς τό κῦμα τῆς ἀδαμάστου θαλάσσης
καί τόν προσεπέλασεν ἐπάνω ἀπό τάς νήσους,
τάς ὁποίας ὀνομάζουν Ἀψυρτίδας.

Ἀλλ' αὐτοί (οἱ Μινύαι) δέν διέφυγον τήν προσοχήν οὔτε τοῦ Διός, ὁ ὁποῖος ἔχει τήν ἐποπτείαν (τῶν ἀνθρωπίνων πραγμάτων), οὔτε τῶν θείων νόμων.

πού εἶναι γεμάτη ἀπό νερά· ἄκουσέ με, ὦ πολυσέβαστη, καί εἴθε νά προσέλθῃς εὐμενής βοηθός, ἀποστέλλουσα, σύ ἡ μακαρία, οὖριον ἄνεμον εἰς τά καράβια, πού τρέχουν σέ εὐθεῖα κατεύθυνσι.

(23) XXIII. ΝΗΡΕΩΣ θυμίαμα, σμύρναν.

Ὦ κατέχων πόντου ρίζας, κυαναυγέτιν ἕδρην,
πεντήκοντα κόρῃσιν ἀγαλλόμενος κατά κῦμα,
καλλιτέκνοισι χοροῖς, Νηρεῦ, μεγαλώνυμε δαῖμον·
πυθμήν μέν πόντου, γαίης πέρας, ἀρχή ἁπάντων·
ὃς κλονέεις Δηοῦς ἱερόν βάθρον, ἠνίκα πνοιάς
ἐν μυχίοις κευθμῶσιν ἐλαυνομένας ἀποκλείεις·
ἀλλά, μάκαρ, σεισμούς μέν ἀπότρεπε, πέμπε δέ μύσταις
ὄλβον τ', εἰρήνην τε, καί ἡπιόχειρ' ὑγίειαν.

(23) XXIII. ΝΗΡΕΩΣ θυμίαμα, σμύρναν

Ὦ σύ πού κατέχεις τίς ρίζες τοῦ πόντου, τήν ἕδραν (τόν θρόνον) μέ τήν κυανίζουσαν λάμψιν,
καί εὐφραίνεσαι μέσα στό κῦμα μέ τίς πενήντα κόρες σου, πού χορεύουν σάν ὡραῖα παιδιά, ὦ Νηρέα, μεγαλονόματε θεέ (θεέ ἔνδοξε)· Εἶσαι ὁ πυθμήν τῆς θαλάσσης, τῆς γῆς τό τέρμα, ἡ ἀρχή τῶν ὅλων· σύ κλονίζεις τό ἱερόν βάθρον (τό ἱερόν ἔδαφος) τῆς Δηοῦς, ὅταν τούς πνέοντας ἀνέμους, πού ἐπέρχονται, ἀποκλείῃς (κλειδώνῃς) σέ βαθεῖς κρυψῶνες·
ἀλλά τούς σεισμούς, ὦ μακάριε, ἀπομάκρυνε, καί νά στέλλῃς εἰς τούς μεμυημένους εὐτυχίαν, εἰρήνην καί ὑγείαν μέ χέρι ἥρεμον.

(24) XXIV. ΝΗΡΗΙΔΩΝ θυμίαμα, ἀρώματα.

Νηρέος εἰναλίου νύμφαι καλυκώπιδες ἀγναί,
φρίκιαι, ἐμβύθιαι, χοροπαίγμονες, ὑγροκέλευθοι,
πεντήκοντα κόραι περί κύμασι βακχεύουσαι,
Τριτώνων ἐπ' ὄχοισιν ἀγαλλόμεναι περί νῶτα
θηροτύποις μορφαῖς, ὧν βόσκει σώματα πόντος·
ἄλλοι θ' οἳ ναίουσι βυθόν, Τρτώνιον οἶδμα,
ὑδρόδρομοι, σκιρτηταί, ἑλισσόμενοι περί κῦμα,
ποντοπλάνοι δελφῖνες, ἁλιρρόθιοι, κυαναυγεῖς·
ὑμέας κικλήσκω πέμπειν μύσταις πολύν ὄλβον·
ὑμεῖς γάρ πρῶται τελετήν ἀνεδείξατε σεμνήν

(24) XXIV. ΝΗΡΗΙΔΩΝ θυμίαμα, ἀρώματα

Τοῦ θαλασσινοῦ Νηρέως νύμφες ἀγνές μέ τά ὡραῖα μάτια, πού προκαλεῖτε φρίκην καί ζῆτε στόν βυθό τῆς θαλάσσης καί παίζετε μέ τούς χορούς (χορεύετε μέ εὐθυμίαν) εἰς τούς ὑγρούς δρόμους τῆς θαλάσσης,
σεῖς αἱ πενήντα κόρες, πού διασκεδάζετε μέ μανίαν γύρω ἀπό τά κύματα,
καί εὐφραίνεσθε στά νῶτα τῶν Τριτώνων ἐπάνω σέ ὀχήματα μέ μορφές θηρίων, πού τά σώματά των τρέφει ἡ θάλασσα· ἀλλά εἶναι καί ἄλλοι, πού κατοικοῦν εἰς τόν βυθόν, στό φουσκωμένο κῦμα τοῦ Τρίτωνος,
πού τρέχουν στό νερό καί σκιρτοῦν καί ἑλίσσονται γύρω ἀπό τό κῦμα, εἶναι τά δελφίνια, πού περιπλανῶνται στόν πόντο μέ θόρυβο καί μέ κυανίζουσαν λάμψιν·
ἐσᾶς ἐπικαλοῦμαι νά στέλλετε στούς μεμυημένους πολλήν εὐτυχίαν· διότι πρῶτες ἐσεῖς ἀνεδείξατε τήν σεβαστήν τελετουργίαν τοῦ

εὐϊέρου Βάκχοιο καί ἀγνῆς Φερσεφονείης
Καλλιόπῃ σύν μητρί καί Ἀπόλλωνι ἄνακτι.

ἱεροῦ Βάκχου καί τῆς ἁγνῆς Περσεφόνης μαζί μέ τήν μητέρα μου Καλλιόπην καί τόν ἄνακτα Ἀπόλλωνα.

(25) XXV. ΠΡΩΤΕΩΣ θυμίαμα, στύρακα

Πρωτέα κικλήσκω, πόντου κληῖδας ἔχοντα,
πρωτογενῆ, πάσης φύσεως ἀρχάς ὃς ἔφηνεν,
ὕλην ἀλλάσσων ἱερήν ἰδέαις πολυμόρφοις
πάντιμος, πολύβουλος, ἐπιστάμενος τά τ᾽ ἐόντα,
ὅσσα τε πρόσθεν ἔην, ὅσα τ᾽ ἔσσεται ὕστερον αὖτις·
πάντα γάρ ἐν Πρωτεῖ πρώτῃ φύσις ἐγκατέθηκεν.
ἀλλά, πάτερ, μόλε μυστιπόλοις ὁσίῃσι προνοίαις,
πέμπων εὐόλβου βιότου τέλος ἐσθλόν ἐπ᾽ ἔργοις.

(25) XXV. ΠΡΩΤΕΩΣ θυμίαμα, στύρακα, (ἡδύοσμον)

Τόν Πρωτέα προσφωνῶ, πού κρατεῖ τά κλειδιά τοῦ πόντου, τόν πρωτότοκον, πού ἐφανέρωσε τάς ἀρχάς ὅλης τῆς φύσεως, καί μεταβάλλει τήν ἱεράν ὕλην σέ μορφές πολυποίκιλες, τόν τιμιώτατον, πού ἔχει πολλές σκέψεις (εἶναι συνετώτατος), καί γνωρίζει καί τά παρόντα καί ὅσα ἦσαν προηγουμένως (τά παρελθόντα) καί πάλιν ὅσα θά γίνουν ὕστερα (τά μέλλοντα)·
διότι ὅλα ἡ πρώτη φύσις τά ἐναπέθεσε εἰς τόν Πρωτέα. Ἀλλά, ὦ πατέρα μας, ἔλα στίς μυστηριακές ἱερές προφητεῖες καί στέλλε μας καλόν τέλος ἑνός εὐτυχισμένου διά τά ἔργα του βίου.

(26) XXVI. ΓΗΣ θυμίαμα, πᾶν σπέρμα, πλήν κυάμων καί ἀρωμάτων

Γαῖα θεά, μῆτερ μακάρων, θνητῶν τ᾽ ἀνθρώπων,
πάντροφε, πανδώτειρα, τελεσφόρε, παντολέτειρα,
αὐξιθαλής, φερέκαρπε, καλαῖς ὥρῃσι βρύουσα·
ἕδρανον ἀθανάτου κόσμου, πολυποίκιλε κούρη,
ἥ λοχίαις ὠδῖσι κύεις καρπόν πολυειδῆ·
ἀϊδίη, πολύσεπτε, βαθύστερν᾽, ὀλβιόμοιρε,
ἡδυπνόοις χαίρουσα χλόαις, πολυάνθεμε δαῖμον·
ὀμβροχαρής, περί τήν κόσμος πολυδαίδαλος ἄστρων
εἰλεῖται φύσει ἀενάῳ καί ρεύμασι δεινοῖς.
ἀλλά μάκαιρα θεά, καρπούς αὔξοις πολυγηθεῖς,
εὐμενές ἦτορ ἔχουσα, σύν εὐόλβοισιν ἐν ὥραις..

(26) XXVI. ΓΗΣ θυμίαμα, πᾶν σπέρμα πλήν κυάμων καί ἀρωμάτων

Ὦ θεά Γῆ, σύ ἡ μητέρα τῶν μακαρίων θεῶν καί τῶν θνητῶν ἀνθρώπων,
πού τρέφεις τά πάντα καί δίδεις τά πάντα, πού φέρεις εἰς πέρας τήν ὡρίμασιν τῶν καρπῶν καί τά πάντα θανατώνεις, πού βοηθεῖς τήν αὔξησιν (τῶν καρπῶν) καί παράγεις καρπούς καί εἶσαι γεμάτη ἀπό ὡραῖες ἐποχές·
εἶσαι ὁ θρόνος τοῦ ἀθανάτου κόσμου, ὦ κόρη πολυποίκιλε, πού κυοφορεῖς πολύμορφον καρπόν μέ τά ἐπιλόχια κοιλοπονήματα· ὦ ἀθάνατη, πολυσέβαστη, μέ τά βαθειά στέρνα, μέ τήν εὐτυχισμένη μοῖρα,
πού χαίρεσαι στίς γλυκόπνοες χλόες, ἐσύ ἡ θεά μέ τά πολλά ἄνθη·
χαίρεσαι μέ τίς βροχές, καί γύρω ἀπό σέ περιστρέφεται ἕνας πολυποίκιλτος κόσμος ἀπό ἀστέρια, (πού κινεῖται) ἀπό τήν διαρκῶς ρέουσαν φύσιν καί ἀπό δυνατά ρεύματα.
Ἀλλά σύ ἡ μακαρία θεά, εἴθε νά αὐξήσῃς τούς καρπούς, πού μᾶς δίδουν πολλήν εὐχαρίστησιν, καί νά ἔχῃς εὐμενῆ καρδιά μαζί μέ εὐτυσμένες ἐποχές.

(27) XXVII. ΜΗΤΡΟΣ ΘΕΩΝ θυμίαμα, ποικίλα.

Ἀθανάτων θεότιμε θεῶν μῆτερ,
τροφέ πάντων,
τῇδε μόλοις κράντειρα θεά, σέο πότνι' ἐπ' εὐχαῖς,
ταυροφόνων ζεύξασα ταχύδρομον ἅρμα λεόντων,
σκηπτοῦχε κλεινοῖο πόλου, πολυώνυμε, σεμνή·
ἣ κατέχεις κόσμοιο μέσον θρόνον, οὕνεκεν αὐτή
γαῖαν ἔχεις, θνητοῖσι τροφὰς παρέχουσα προσηνεῖς·
ἐκ σέο δ' ἀθανάτων τε γένος θνητῶν τ' ἐλοχεύθη·
σοί ποταμοί κρατέονται ἀεί καί πᾶσα θάλασσα·
Ἱστίη αὐδαχθεῖσα· σέ δ' ὀλβοδότιν καλέουσιν,
παντοίων ἀγαθῶν θνητοῖς ὅτι δῶρα χαρίζῃ.
ἔρχεο πρός τελετήν, ὦ πότνια, τυμπανοτερπής,
πανδαμάτωρ, Φρυγίης σώτειρα, Κρόνου συνόμευνε,
Οὐρανόπαι, πρέσβειρα, βιοθρέπτειρα, φίλοιστρε·
ἔρχεο γηθόσυνος, κεχαρισμένη εὐσεβίῃσιν.

(28) XXVIII. ΕΡΜΟΥ θυμίαμα, λίβανον

Κλῦθί μευ, Ἑρμεία, Διός ἄγγελε,
Μαιάδος υἱέ,
παγκρατές ἦτορ ἔχων, ἐναγώνιε,
κοίρανε θνητῶν,
εὔφρων, ποικιλόβουλε, διάκτορος,
Ἀργειφόντα,
πτηνοπέδιλε, φίλανδρε, λόγου θνητοῖσι προφῆτα·
γυμνάσιν ὅς χαίρεις, δολίαις τ' ἀπάταις, ὀφιοῦχε·
ἑρμηνεῦ πάντων, κερδέμπορε,
λυσιμέριμνε·
ὅς χείρεσσιν ἔχεις εἰρήνην ὅπλον ἀμεμφές·

(27) XXVII. ΜΗΤΡΟΣ ΘΕΩΝ θυμίαμα, ποικίλα

Ὦ μητέρα τῶν ἀθανάτων θεῶν, πού τιμᾶσαι
ἀπό τούς θεούς καί τρέφεις τά πάντα,
εἴθε θεά ἀρχόντισσα νά ἔλθῃς ἐδῶ, γιά νά εὐχηθοῦμε σέ σένα, σεβαστή θεά,
ἀφοῦ ζεύξεις γρήγορο ἅρμα λεόντων, πού φονεύουν τούς ταύρους, σύ πού ἔχεις τό σκῆπτρον (σύ πού κυβερνᾷς) τοῦ ἐνδόξου (τοῦ πασιγνώστου) πόλου,
σύ μέ τά πολλά ὀνόματα, ἡ σεβαστή·
σύ κατέχεις τόν θρόνον, πού εἶναι εἰς τό μέσον τοῦ κόσμου, καί γι' αὐτό σύ ἡ ἰδία κατέχεις τήν γῆν καί προσφέρεις εἰς τούς ἀνθρώπους τροφάς ἡπίας (καταπραϋντικάς)·
ἀπό σέ ἐγεννήθη τό γένος καί τῶν θεῶν καί τῶν ἀνθρώπων· ἀπό σέ κυριαρχοῦνται πάντοτε οἱ ποταμοί καί ὅλη ἡ θάλασσα· ἐπωνομάσθης Ἑστία· καί σέ καλοῦν δότειραν τῆς εὐτυχίας, διότι χαρίζεις εἰς τούς ἀνθρώπους δῶρα ἀπό παντός εἴδους ἀγαθά. Ἔλα εἰς τήν τελετουργίαν, ὦ σεβαστή θεά, πού τέρπεσαι μέ τίς τυμπανοκρουσίες,
σύ πού δαμάζεις τά πάντα, ἡ σωτηρία τῆς Φρυγίας **(κατά τινα παράδοσιν ἡ Κυβέλη, ἡ μητέρα τῶν θεῶν, ἦτο προστάτις της Φρυγίας, παράδοσις μεταφερθεῖσα ἀπό τήν παναρχαίαν ἐποχήν, ὅταν οἱ Φρύγες κατοικοῦσαν εἰς τήν Θράκην, δηλαδή πρίν μετοικήσουν εἰς τήν Μικράν Ἀσίαν),** ἡ σύζυγος τοῦ Κρόνου, τό παιδί τοῦ οὐρανοῦ, ἡ σεβαστή, πού τρέφεις τήν ζωήν καί εἶσαι φίλη τῆς μανίας·
ἔλα μέ χαράν, εὐάρεστος εἰς τάς εὐσεβεῖς ἐκδηλώσεις μας.

(28) XXVIII. ΕΡΜΟΥ θυμίαμα, λίβανον

Ἄκουσέ με, Ἑρμῆ, σύ ὁ ἀγγελιαφόρος τοῦ Διός, ὁ υἱός τῆς Μαίας, πού ἔχεις πανίσχυρη καρδιά καί εἶσαι μέσα στούς ἀγῶνες, ἀρχηγέ τῶν ἀνθρώπων, εὐχάριστε, πού ἔχεις ποικίλες σκέψεις (εἶσαι πολυμήχανος), ὁδηγέ, φονέα τοῦ Ἄργου,
πού ἔχεις πτερωτά πέδιλα καί εἶσαι φίλος τῶν ἀνδρῶν καί προφήτης τοῦ λόγου εἰς τούς ἀνθρώπους·
σύ χαίρεσαι μέ τά γυμνάσια καί μέ τίς δόλιες ἀπάτες καί κρατεῖς στά χέρια σου φίδι·
εἶσαι ἐξηγητής τῶν πάντων, προστάτης τοῦ ἐμπορικοῦ κέρδους καί μᾶς ἀπαλλάσσεις ἀπό τίς μέριμνες·
σύ ἔχεις στά χέρια σου τό ἄψογον ὅπλον τῆς εἰρήνης·

Κωρυκιῶτα, μάκαρ, ἐριούνιε, ποικιλόμυθε,
ἐργασίαις ἐπαρωγέ, φίλε θνητοῖς ἐν ἀνάγκαις·
γλώσσης δεινόν ὅπλον, τό σεβάσμιον ἀνθρώποισιν·
κλῦθί μευ εὐχομένου, βιότου τέλος ἐσθλόν ὀπάζων,
ἐργασίῃσι, λόγου χάρισιν, καί μνημοσύνῃσιν.

ὦ Κηρυκιῶτα, (πού φέρεις τό κηρύκειον), μακάριε, πού παρέχεις μεγάλες ὠφέλειες, πού λέγεις ποικίλα λόγια,
βοηθέ εἰς τάς ἐργασίας, φίλε τῶν θνητῶν εἰς τάς ἀνάγκας των· πού ἔχεις τό φοβερόν ὅπλον τῆς γλώσσης, τό σεβαστόν εἰς τούς ἀνθρώπους·
ἄκουσε τήν προσευχή μου, καί δόσε καλόν τέλος τοῦ βίου μέ τίς ἐργασίες, τίς χαρές τοῦ λόγου καί μέ τίς μνημοσύνες (τίς ἐνθύμησες).

(29) XXIX. ΥΜΝΟΣ Περσεφόνης

Περσεφόνη, θυγάτερ μεγάλου Διός, ἐλθέ μάκαιρα,
μουνογένεια θεά, κεχαρισμένα δ' ἱερά δέξαι·
Πλούτωνος πολύτιμε δάμαρ, κεδνή, βιοδῶτι·
ἥ κατέχεις Ἀΐδαο πύλας ὑπό κεύθεα γαίης,
Πραξιδίκη, ἐρατοπλόκαμος, Δηοῦς θάλος ἀγνόν,
Εὐμενίδων γενέτειρα, καταχθονίων βασίλεια·
ἥν Ζεύς ἀρρήτοισι γοναῖς τεκνώσατο κούρην.
μῆτερ ἐριβρεμέτου πολυμόρφου Εὐβουλῆος,
Ὡρῶν συμπαίκτειρα, φαεσφόρος, ἀγλαόμορφε·
σεμνή, παντοκράτειρα, κόρη καρποῖσι βρύουσα,
εὐφεγγής, κερόεσσα μόνη θνητοῖσι ποθεινή,
ἐαρινή, λειμωνιάσιν χαίρουσα πνοῇσιν,
ἱερόν ἐκφαίνουσα δέμας βλαστοῖς χλοοκάρποις,
ἁρπαγιμαῖα λέχη μετοπωρινά νυμφευθεῖσα·
ζωή καί θάνατος μούνη θνητοῖς πολυμόχθοις,
Φερσεφόνεια· φέρεις γάρ ἀεί καί πάντα φονεύεις.
κλῦθι μάκαιρα θεά, καρπούς δ' ἀνάπεμπ' ἀπό γαίης,
εἰρήνῃ εὐόλβῳ, καί ἠπιόχειρ' ὑγιείῃ,
καί βίῳ εὐόλβῳ, λιπαρόν γῆρας κατάγοντι

(29) XXIX. Ὕμνος ΠΕΡΣΕΦΟΝΗΣ

Ὦ Περσεφόνη, θυγατέρα τοῦ μεγάλου Διός,
ἔλα, ὦ μακαρία, σύ ἡ μονογενής θεά, καί δέξου τήν θυσίαν τήν εὐάρεστη·
πολύτιμε σύζυγε τοῦ Πλούτωνος, ἔνδοξε, πού δίδεις ζωήν·
πού κατέχεις τάς πύλας τοῦ Ἅδου εἰς τά ὑποχθόνια τῆς γῆς,
Πραξιδίκη μέ τά ἐπέραστα πλοκάμια, τῆς Δηοῦς ἀγνό βλαστάρι (τέκνον),
μητέρα τῶν Εὐμενίδων, βασίλισσα τῶν καταχθονίων (τῶν νεκρῶν),
τήν κόρην πού ἐγέννησεν ὁ Ζεύς μέ ἀνέκφραστον τοκετό,
ὦ μητέρα τοῦ πολύβροντου καί πολύμορφου Εὐβουλέως,
που παίζεις μαζί μέ τίς ἐποχές καί φέρεις τό φῶς,
ἐσύ μέ τήν ὡραίαν μορφήν· σεμνή, παντοδύναμος,
κόρη πού εἶσαι γεμάτη ἀπό καρπούς, καί φέγγεις λαμπρά,
ἔχεις κέρατα, καί ἐσύ μόνον εἶσαι περιπόθητη εἰς τούς ἀνθρώπους,
διότι εἶσαι ἐαρινή καί χαίρεσαι μέ τίς πνοές τῶν λιβαδιῶν, καί φανερώνεις τό ἱερόν σῶμά σου στούς βλαστούς, πού παράγουν χλωρούς καρπούς·
ἐνυμφεύθης τό φθινόπωρον κατόπιν ἁρπαγῆς·
μόνη ἐσύ εἶσαι ἡ ζωή καί ὁ θάνατος εἰς τούς ἀνθρώπους τούς πολυβασανισμένους,
διότι σύ ἡ Φερσεφόνη (ἡ Περσεφόνη) φέρεις πάντοτε τήν ζωήν (τήν ἄνοιξιν)
καί τά παντα φονεύεις (τόν χειμῶνα).
Ἄκουσέ με μακαρία θεά καί φερε καρπούς εἰς τήν γῆν, δίδε εἰρήνην καί εὐχάριστον οιδε ειρήνην και εὐχάριστον υγείαν και βιον εὐτυχῆ, πού ὁδηγεῖ, ὦ βασίλισσα, τά ἤσυχα

πρός σόν χῶρον, ἄνασσα, καί εὐδύνατον Πλούτωνα

(30) XXX. ΔΙΟΝΥΣΟΥ θυμίαμα, στύρακα.

Κικλήσκω Διόνυσον ἐρίβρομον, εὐαστῆρα,
πρωτόγονον, διφυῆ, τρίγονον, Βακχεῖον ἄνακτα,
ἄγριον, ἄρρητον, κρύφιον, δικέρωτα, δίμορφον,
κισσόβρυον, ταυρωπόν, ἀρήϊον, εὔϊον, ἁγνόν,
ὠμάδιον, τριετῆ, βοτρυοτρόφον, ἐρνεσίπεπλον.
Εὐβουλεῦ, πολύβουλε, Διός καί Περσεφονείης
ἀρρήτοις λέκτροισι τεκνωθείς, ἄμβροτε δαῖμον·
κλῦθι μάκαρ φωνῆς, ἡδύς δ᾽ ἐπίπνευσον ἐνῆής,
εὐμενές ἦτορ ἔχων, σύν ἐϋζώνοισι τιθήναις.

(31) XXXI. ΥΜΝΟΣ Κουρήτων.

Σκιρτηταί Κουρῆτες, ἐνόπλια βήματα θέντες,
ποσσίκροτοι, ρομβηταί, ὀρέστεροι, εὐαστῆρες,
κρουσιλύραι, παράρυθμοι, ἐπεμβάται ἴχνεσι κούφοις,
ὁπλοφόροι, φύλακες, κοσμήτορες, ἀγλαόφημοι,
μητρός ὀρειμανέος συνοπάονες, ὀργιοφάνται,
ἔλθοιτ˜ εὐμενέοντες ἐπ᾽ εὐφήμοισι λόγοισιν,
βουκόλῳ εὐάντητοι ἀεί κεχαρηότι θυμῷ.

(32) XXXII. ΥΜΝΟΣ ᾽Αθηνᾶς

Παλλάς μουνογενής, μεγάλου Διός ἔκγονε σεμνή,
δῖα μάκαιρα θεά, πολεμοκλόνος, ὀβριμόθυμε,
[˜Αρρητ᾽, εὑρήτη, μεγαλώνυμος, ἀντροδίαιτε·

γηρατειά κάτω πρός τόν ἰδικόν σου χῶρον καί πρός τόν δυνατόν Πλούτωνα.

(30) XXX. ΔΙΟΝΥΣΟΥ θυμίαμα, στύρακα (ἡδύοσμον)

Τόν Διόνυσον προσκαλῶ, τόν θορυβώδη πού φωνάζει εὐᾶ! (ἐπιφώνημα ἐνθουσιῶδες), τόν πρωτογενῆ, πού ἔχει δύο φύσεις, καί ἐγεννήθη τρεῖς φορές, τόν Βακχικόν βασιλέα, τόν ζῶντα εἰς τούς ἀγρούς, τόν ἀνέκφραστον, τόν ἀπόκρυφον, πού ἔχει δύο κέρατα καί δύο μορφάς,
τόν γεμάτο ἀπό κισσό, πού ἔχει πρόσωπο ταύρου, τόν πολεμικόν, τόν βακχικόν, τόν ἁγνόν, πού τρώγει ὠμά κρέατα, τον τριετῆ, πού τρέφει τά σταφύλια καί ἔχει γιά πέπλο βλαστάρια.
˜Ω Εὐβουλέα, πολυμήχανε, πού ἐγεννήθης στά ἀπερίγραπτα κρεββάτια τοῦ Διός καί τῆς Περσεφόνης, ἀθάνατε δαίμονα (θεέ)· ἄκουσε, μακάριε, τήν φωνήν μου καί σπεῦσε μέ γλυκύτητα καί μέ προσήνεια,
ἔχων εὐμενῆ διάθεσιν μαζί μέ τίς καλλίζωνες συντρόφους σου (τίς Μαινάδες καί τίς Βάκχες).

(31) XXXI. ˜Υμνος ΚΟΥΡΗΤΩΝ

˜Ω σεῖς οἱ Κουρῆτες, πού πηδᾶτε καί βαδίζετε ρυθμικά σύμφωνα μέ τά πολεμικά τραγούδια σας,
πού κάνετε κρότον μέ τά πόδια καί περιστρέφεσθε ὡσάν ρόμβοι (σβοῦρες), καί ζῆτε εἰς τά βουνά, βακχικοί,
πού κρούετε τήν λύραν καί εἶσθε ρυθμικοί καί βαδίζετε μέ ἐλαφρά βήματα,
καί εἶσθε ὡπλισμένοι, φύλακες, ἀρχηγοί, μέ λαμπρή φήμη, σύντροφοι τῆς μητέρας (τῆς Ρέας ἤ τῆς Κυβέλης), πού σάν μανιακή περιφέρεται στά βουνά, σεῖς πού φανερώνετε (πού γνωρίζετε) τίς ἱεροτελεστίες,
εἴθε νά ἔλθετε μέ εὐμενῆ διάθεσιν ἀπό τούς ἐγκωμιαστικούς λόγους, καταδεκτικοί πάντοτε πρός τόν βοϊδοβοσκό καί μέ χαρούμενη καρδιά.

(32) XXXII. ˜Υμνος ᾽Αθηνᾶς

˜Ω Παλλάδα μονογενῆς, πού εἶσαι τό σεμνό τέκνον τοῦ μεγάλου Διός, σεβαστή μακαρία θεά, πού διεγείρεις τόν θόρυβο τοῦ πολέμου, κρατερόκαρδε,
(᾽Ανέκφραστη καί ὅμως εὐκολοείπωτη, ἐν-

ἥ τε διαΐσσεις ὑψαύχενας
ἀκρωρείας,
ἠδ' ὄρεα σκιόεντα, νάπῃσί τε σήν
φρένα τέρπεις].
ὁπλοχαρής, οἰστροῦσα βροτῶν ψυχάς
μανίῃσιν·
γυμνάζουσα κόρη, φρικώδεα θυμόν
ἔχουσα.
Γοργοφόνος, φυγόλεκτρε, τεχνῶν μῆτερ
πολύοβλε.
ὁρμάστειρα, φίλοιστρε κακοῖς, ἀγαθοῖς
δέ φρόνησις
ἄρσην μέν καί θῆλυς ἔφυς, πολεμήτοκε
μῆτι.
αἰολόμορφε, δράκαινα, φιλένθεος,
ἀγλαότιμε·
Φλεγραίων ὀλέτειρα γιγάντων,
ἱππελάτειρα.
Τριτογένεια, λύτειρα κακῶν, νικηφόρε
δαῖμον,
γλαυκῶφ' εὑρεσίτεχνε, πολυλλίστη
βασίλεια
ἤματα καί νύκτας αἰεί νεάτῃσιν ἐν
ὥραις,
κλυθί μευ εὐχομένου, δός δ' εἰρήνην
πολύολβον,
καί κόρον ἠδ' ὑγίειαν ἐπ' εὐόλβοισιν
ἐν ὥραις.

δοξε, πού διαιτᾶσαι στά σπήλαια· σύ ὑπερπηδᾶς τίς ὑψηλές κορυφές τῶν βουνῶν
καί τρέχεις στά δασοσκεπῆ βουνά καί χαίρεσαι μέ τήν καρδιά σου γυρίζοντας στά φαράγγια).
Σύ ἀγαπᾶς τά ὅπλα, οἰστρηλατεῖς (ξεσηκώνεις) τίς ψυχές τῶν ἀνθρώπων μέ μανίες·
εἶσαι ἡ κόρη πού γυμνάζεις (ἀσκεῖς) καί
ἔχεις φρικτήν ὀργήν (διότι τρομάζουν τήν ὀργή σου).
Ἐσύ ἐφόνευσες τήν Γοργόνα, ἀποφεύγεις τό συζυγικό κρεββάτι, ἀλλά εἶσαι ἡ πολυευτυχισμένη μητέρα τῶν τεχνῶν.
Ἐσύ παρέχεις παρορμήσεις, ἀγαπᾶς νά ξεσηκώνῃς οἶστρον (μανίαν) εἰς τούς κακούς, εἰς τούς ἀνθρώπους ὅμως εἶσαι ἡ φρόνησις (ἡ φρονιμάδα), ἐγεννήθης ἐκ φύσεως ἀρσενική καί θηλυκή, ἐσύ γεννᾶς τούς πολέμους, ἀλλά εἶσαι καί ἡ σύνεσις.
Ποικιλόμορφε, πού βλέπεις μέ ὀξύτητα, ἐνθουσιαστική, πού ἔχεις λαμπράν τιμήν·
ἐσύ ἐξωλόθρευσες τούς Φλεγραίους γίγαντας, ἐσύ ὁδηγεῖς τούς ἵππους.
Εἶσαι ἡ Τριτογένεια, μᾶς ἀπαλλάσσεις ἀπό τά κακά, εἶσαι ἡ θεά, πού μᾶς φέρεις τήν νίκην,
ἡ γαλανομάτα, ἡ ἐφευρίσκουσα τέχνας, ἡ βασίλισσα πού δέχεται πολλές ἱκεσίες ἡμέρα καί νύχτα πάντοτε στίς τελευταῖες ὧρες· ἄκουσε τίς εὐχές μου καί δόσε μας εἰρήνην, πού παρέχει πολλήν εὐτυχίαν,
καί ἱκανοποίησιν καί ὑγείαν μ' εὐτυχισμένες ὧρες.

(33) XXXIII. ΝΙΚΗΣ θυμίαμα, μάνναν.

Εὐδύνατον καλέω Νίκην, θνητοῖσι
ποθεινήν,
ἥ μούνη λύει θνητῶν ἐναγώνιον
ὁρμήν,
καί στάσιν ἀλγινόεσσαν, ἐπ' ἀντιπάλοισι
μάχῃσιν.
ἐν πολέμοις κρίνουσα, τροπαιούχοισιν
ἐπ' ἔργοις,
οἷς ἄν ἐφορμαίνουσα φέρῃς
γλυκερώτατον εὖχος.
πάντων γάρ κρατέεις· πάσης δ' ἔριδος
κλέος ἐσθλόν
Νίκῃ ἐπ' εὐδόξῳ κεῖται, θαλίῃσι
βρυάζον.
ἀλλά μάκαιρ', ἔλθοις πεποθημένῳ
ὄμματι φαιδρῷ,
αἰεί ἐπ' εὐδόξοις ἔργοις κλέος ἐσθλόν
ἄγουσα.

(33) XXXIII. ΝΙΚΗΣ θυμίαμα, μάνναν

Τήν Νίκην προσκαλῶ, τήν πολυδύναμη, τήν περιπόθητη στούς ἀνθρώπους,
πού μόνο αὐτή ἀπαλλάσσει τούς ἀνθρώπους ἀπό τήν ἀγωνιώδη ὁρμήν καί ἀπό τήν ὀδυνηράν ἀντίθεσιν κατά τάς μάχας μεταξύ ἀντιπάλων, διότι σύ ἀποφασίζεις στούς πολέμους μέ τά νικηφόρα ἔργα, πρός τά ὁποῖα, ὅταν ὁρμᾷς, φέρεις γλυκύτατον καύχημα· διότι εἶσαι τῶν πάντων κυρίαρχος· καί εἰς κάθε διαμάχην ἐναπόκειται εἰς ἐσέ· ἀπό ἐσέ ἐξαρτᾶται ἡ ἔνδοξος Νίκη, τό καλό ἀποτέλεσμα, πού χαίρεται ὁ νικητής.
ἀλλά, ὦ μακαρία, εἴθε νά μᾶς ἔλθῃς μέ περιπόθητο φαιδρό μάτι καί νά μᾶς φέρῃς πάντοτε καλήν φήμην γιά τά ἔνδοξα ἔργα.

(34) XXXIV. ΑΠΟΛΛΩΝΟΣ θυμίαμα, μάνναν.

Ἐλθέ, μάκαρ Παιάν τιτυοκτόνε, Φοῖβε Λυκωρεῦ,
Μεμφῖτ', ἀγλαότιμος, ἰήϊος, ὀλβιοδῶτα.
χρυσολύρη, σπερμεῖος, ἀρότριε, Πύθιε, Τιτάν,
Γρύνειε, Σμινθεῦ, Πυθοκτόνε, Δελφικέ μάντι,
ἄγριε, φωσφόρε δαῖμον, ἐράσμιε, κύδιμε κοῦρε·
Μουσαγέτη, χαροποιός, ἑκηβόλε, τοξοβέλεμνε,
Βράγχιε καί Διδυμεῦ, ἑκάεργος, Λοξία, ἀγνέ·
Δήλι' ἄναξ πανδερκές ἔχων φαεσίμβροτον ὄμμα,
χρυσοκόμη, καθαράς φήμας χρησμούς τ' ἀναφαίνων·
κλῦθί μευ εὐχομένου λαῶν ὕπερ εὔφρονι θυμῷ.
τόνδε σύ γάρ λεύσσεις τόν ἀπείριτον αἰθέρα πάντα,
γαῖάν τ' ὀλβιόμοιρον ὕπερθεν καί δι' ἁμολγοῦ
νυκτός ἐν ἡσυχίῃσιν ὑπ' ἀστεροομμάτου ὄρφνης
ῥίζας νέρθε δέδορκας, ἔχεις δέ τε πείρατα κόσμου
παντός· σοί δ' ἀρχή τε τελευτή τ' ἐστί μέλουσα,
παντοθαλής· σύ δέ πάντα πόλον κιθάρῃ πολυκρέκτῳ
ἁρμόζεις, ὁτέ μέν νεάτης ἐπί τέρματα βαίνων,
ἄλλοτε δ' αὖθ' ὑπάτην, ποτέ Δώριον εἰς διάκοσμον
πάντα πόλον κιρνάς, κρίνεις βιοθρέμμονα φῦλα,
ἁρμονίῃ κεράσας παγκόσμιον ἀνδράσι μοῖραν·
μίξας χειμῶνος θέρεός τ' ἴσον ἀμφοτέροισιν,
εἰς ὑπάτας χειμῶνα, θέρος νεάταις διακρίνας,
Δώριον εἰς ἔαρος πολυηράτου ὥριον ἄνθος.
ἔνθεν ἐπωνυμίην σε βροτοί κλήζουσι ἄνακτα

(34) XXXIV. ΑΠΟΛΛΩΝΟΣ θυμίαμα, μάνναν

Ἔλα, ὦ μακάριε Παιάν, πού ἐφόνευσες τόν Τιτυόν, Φοῖβε Λυκωρέα, Μεμφίτη, σύ πού τιμᾶσαι λαμπρά, ὁ ἰήϊος, ὁ παρέχων εὐτυχίαν, πού ἔχεις χρυσῆν λύραν καί ἔχεις σχέσιν μέ τά σπέρματα, ὁ προστάτης τῶν καλλιεργητῶν, ὁ Πύθιος, ὁ Τιτάν,
ὁ Γρύνειος, ὁ Σμινθεύς, ὁ φονεύς τοῦ Πύθωνος, ὁ Δελφικός, ὁ μάντις, ὁ ἅγριος, ὁ θεός πού φέρει τό φῶς, ὁ ἀγαπητός, ὁ ἔνδοξος νέος· σύ πού εἶσαι ὁ ἡγέτης τῶν Μουσῶν, ὁ ἀρχηγός τοῦ χοροῦ, ὁ μακροβόλος, ὁ τοξοβόλος,
ὁ Βράγχιος καί Διδυμεύς, ὁ τοξότης, ὁ Λοξίας, ὁ ἁγνός· ὦ ἄνακτα τῆς Δήλου, πού τό μάτι σου, τό φωτίζον τούς ἀνθρώπους, βλέπει τά πάντα, σύ μέ τήν χρυσῆ κόμη, πού μᾶς δίδεις προφητικές καθαρές φωνές καί χρησμούς,
ἄκουσε τήν προσευχήν μου ὑπέρ τῶν λαῶν μέ εὐφρόσυνη καρδιά· διότι ἐσύ βλέπεις ὅλον αὐτόν τόν ἀπέραντον αἰθέρα
καί ἀπό ἐπάνω βλέπεις τήν εὐτυχισμένη γῆ καί ἀπό κάτω στό σκοτάδι κατά τήν νύκτα ἐν ὥρᾳ ἡσυχίας, πού ἔχεις γιά μάτια τά ἄστρα, βλέπεις τίς ρίζες (τά θεμέλια), καί ἔχεις τά πέρατα ὅλου τοῦ κόσμου (κάτω ἀπό τά μάτια σου)· ἐσύ φροντίζεις γιά τήν ἀρχή καί τό τέλος,
καί κάνεις νά θάλλουν τά πάντα· ἐσύ συναρμόζεις κάθε πόλον μέ τήν κιθάραν, πού ἔχει μεγάλον ἦχον,
ἄλλοτε μέν βαδίζων πρός τα τέρματα τῆς νεάτης (τῆς κατωτάτης χορδῆς),
ἄλλοτε πάλιν πρός τήν ὑπάτην (τήν ὑψηλοτάτην χορδήν), ἄλλοτε δέ συμμειγνύων κάθε πόλον εἰς τήν Δωρικήν διακόσμησιν (διάταξιν). Διαχωρίζεις τά διατηρούμενα εἰς τήν ζωήν φῦλα,
συγκεράσας διά τῆς ἁρμονίας τήν παγκόσμιον μοῖραν τῶν ἀνθρώπων (τήν μοῖραν-τήν θέσιν τῶν ἀνθρώπων εἰς ὅλον τόν κόσμον)· ἀνέμειξες ἐξ ἴσου καί μέ τά δύο (καί μέ τήν νεάτην καί μέ τήν ὑπάτην) τόν χειμῶνα καί τό θέρος, διεχώρισες δέ τόν χειμῶνα εἰς ὑπάτας καί τό θέρος μέ τάς νεάτας καί ἐσχημάτισες τό ὡραῖον Δωρικόν ἄνθος τοῦ πολυαγαπημένου ἔαρος **(διά τούς στίχους αὐτούς τοῦ Ὕμνου τοῦ Ἀπόλλωνος βλέπε εἰς κείμενα Χασάπη κεφάλαιον Δ΄ ὁ «ΗΛΙΟΣ» εἰς ὑπότιτλον «Αἱ ὧραι τοῦ ἔτους»).**
Ἐξ αὐτοῦ οἱ ἄνθρωποι σέ καλοῦν μέ τήν ἐπωνυμίαν ἄνακτα Πάνα, θεόν μέ δύο κέρατα, πού

Πᾶνα, θεόν δικέρωτ', ἀνέμων συρίγμαθ' ἱέντα·
οὕνεκα παντός ἔχεις κόσμου σφρηγῖδα τυπῶτιν.
κλῦθι μάκαρ, σῴζων μύστας ἱκετηρίδι φωνῇ.

ἀφίνεις τά σφυρίγματα τῶν ἀνέμων· καί γι' αὐτό κρατεῖς τήν σφραγῖδα, πού δίδει τόν τύπον εἰς ὅλον τόν κόσμον (πού διαπλάσσει ὅλον τόν κόσμον)·
ἄκουσέ με, μακάριε, καί σῶσε τούς μεμυημένους μέ τήν ἱκετευτικήν φωνήν (πού σέ ἱκετεύουν).

Ἀπό τόν Ὕμνον 34 (XXXIV) τοῦ Ἀπόλλωνος, ὁ ὁποῖος ταυτίζεται μέ τόν Ἥλιον, φαίνεται ὅτι οἱ Ὀρφικοί ἐγνώριζον τήν βασικήν ἐπίδρασιν τοῦ Ἡλίου διά τήν ἀνάπτυξιν τῆς γεωργίας, ἀφοῦ τόν ἀποκαλοῦν καί τόν χαρακτηρίζουν «σπερμεῖον, ἀρότριε» (στίχος 3), ὡς ἐνισχύοντα καί βοηθοῦντα εἰς τήν σποράν καί τό ὄργωμα τῶν χωραφιῶν, ὡς φωτοδότην, ὡς τόν θεόν πού δίδει τό φῶς καί ρυθμίζει τήν ἀγροτική ζωήν «ἄγριε, φωσφόρε δαῖμον» (στίχος 5) καί ἀκόμη ἐκφραστικώτερα καί παραστατικώτερα τοῦ ἀποδίδουν τήν ἱκανότητα νά φροντίζῃ διά τήν ἀρχήν καί τό τέλος (στίχος 15) «σοί δ' ἀρχή τε τελευτή» καί τοῦ ἀποδίδουν τήν δύναμιν νά κάμῃ τά πάντα εἰς τήν φύσιν νά θάλλουν, νά ξεβλαστώνουν (στίχος 16) «τ' ἐστί μέλουσα παντοθαλής», ὅπως ἄλλως τε συμβαίνει καί εἰς τήν πραγματικότητα, ἀφοῦ χωρίς ἥλιον δέν δύναται νά ὑπάρξῃ γεωργία καί γενικά χωρίς αὐτόν θά ἦτο ἀνύπαρκτος ἡ ζωή εἰς τήν γῆν. Καί τά αὐτά περίπου ἀναφέρονται καί εἰς τόν Ὕμνον τοῦ Ἡλίου, ὅπου ἀποκαλεῖται «ζωῆς φῶς» (8, 8), «φερέσβιος» ζωοδότης καί «κάρπιμος» καρπερός (8-12).

Ἀλλά ἡ σπουδαιοτέρα διαπίστωσις τῶν Ὀρφικῶν εἶναι αὐτή, πού ἀναφέρεται εἰς τήν ρύθμισιν ὑπό τοῦ ἡλίου τῶν ἐποχῶν τοῦ ἔτους (στίχος 16-23) (ἀνοίξεως, θέρους, φθινοπώρου, χειμῶνος) (βλέπε μετάφρασιν εἰς τό κείμενον καί κεφάλαιον Δ, «Ο ΗΛΙΟΣ» εἰς τό κείμενον τοῦ Κ. Χασάπη), ἀπό τήν ὁποίαν ἀποδεικνύεται ἡ ζωοποιός δύναμις τοῦ ἡλίου δι' ὅλα τά ὄντα τῆς γῆς, διά νά καταλήξῃ εἰς τόν στίχον 26 «οὕνεκα παντός ἔχει κόσμον σφρηγῖδα τυπῶσιν» πού σημαίνει κατά κυριολεξίαν, ὅτι ἔχεις τήν δύναμιν νά διαμορφώνῃς τόν κόσμον σύμφωνα μέ τήν ἰδικήν σου σφραγῖδα δηλαδή μέ τήν ἰδικήν σου διάθεσιν, πρόθεσιν, βούλησιν, ἐάν δύναται νά λεχθῇ, ἤ ὅπως ἐσύ (Ἥλιε) ἐπιθυμεῖς.

(35) XXXV. ΛΗΤΟΥΣ θυμίαμα, σμύρναν.

Λητοῖ κυανόπεπλε, θεά διδυματόκε, σεμνή,
Κοιαντίς, μεγάθυνε, πολυλλίστη βασίλεια,
εὔτεκνον Ζηνός γονίμην ὠδῖνα λαχοῦσα,
γειναμένη Φοῖβον τε καί Ἄρτεμιν ἰοχέαιραν,
τήν μέν ἐν Ὀρτυγίῃ, τόν δέ κραναῇ ἐνί Δήλῳ·
κλῦθι, θεά δέσποινα, καί ἵλαον ἦτορ ἔχουσα
βαῖν' ἐπί πάνθειον τελετήν, τέλος ἡδύ φέρουσα.

(35) XXXV. ΛΗΤΟΥΣ θυμίαμα, σμύρναν

Ὦ Λητώ μέ τά γαλάζια πέπλα, σύ ἡ θεά πού ἐγέννησες δίδυμα, σεμνή, κόρη τοῦ Κοίη, (Κοιαντίς), βασίλισσα, πού σοῦ ἀπευθύνουν πολλές παρακλήσεις,
πού σοῦ ἔτυχε νά ἔχῃς μέ τόν Δία γόνιμον τοκετόν ὡραίων τέκνων, ἀφοῦ σύ ἐγέννησες καί τόν Φοῖβον (τόν Ἀπόλλωνα) καί τήν Ἄρτεμιν, πού ἐκτοξεύει βέλη,
αὐτήν μέν εἰς τήν Ὀρτυγίαν, ἐκεῖνον δέ (τόν Φοῖβον) εἰς τήν βραχώδη Δῆλον·
ἄκουσέ με, θεά δέσποινα, καί μέ εὐμενῆ καρδιά ἔλα εἰς τήν τελετουργίαν, πού εἶναι ἀφιερωμένη εἰς ὅλους τούς θεούς, καί φέρε μας γλυκό τέλος.

(36) XXXVI. ΑΡΤΕΜΙΔΟΣ θυμίαμα, μάνναν

Κλῦθί μευ, ὦ βασίλεια, Διός πολυώνυμε κούρη,
Τιτηνίς, βρομίη, μεγαλώνυμε, τοξότι, σεμνή,
πασιφαής, δαδοῦχε, θεά Δίκτυννα,

(36) XXXVI. ΑΡΤΕΜΙΔΟΣ θυμίαμα, μάνναν

Ἄκουσέ με, ὦ βασίλισσα, κόρη τοῦ Διός μέ τά πολλά ὀνόματα, Τιτανίδα, πού εἶσαι θορυβώδης, ἔνδοξος τοξότρια, σεμνή, πού λάμπεις εἰς ὅλους, καί κρατεῖς λαμπάδα, σύ ἡ θεά Δίκτυννα, ἡ προστατεύουσα τας γεννήσεις,

λοχείη,
ὠδίνων ἐπαρωγέ, καί ὠδίνων ἀμύητε·
λυσίζωνε φίλοιστρε, κυνηγέτι,
λυσιμέριμνε,
εὔδρομος, ἰοχέαιρα, φιλαγρότι,
νυκτερόφοιτε,
κλεισίη, εὐάντητε, λυτηρίη,
ἀρσενόμορφε,
ὀρθίη, ὠκυλόχεια, βροτῶν κουροτρόφε
δαῖμον,
ἀγροτέρη, χθονίη, θηροκτόνος,
ὀλβιόμοιρε·
ἥ κατέχεις ὀρέων δρυμούς, ἐλαφηβόλε,
σεμνή,
πότνια, παμβασίλεια, καλόν θάλος αἰέν
ἐοῦσα
δρυμονία, σκυλακῖτι, Κυδωνιάς,
αἰολόμορφε.
ἐλθέ, θεά σώτειρα, φίλη μύστῃσιν
ἅπασιν,
εὐάντητος, ἄγουσα καλούς καρπούς ἀπό
γαίης,
εἰρήνην τ᾽ ἐρατήν, καλλιπλόκαμον θ᾽
ὑγίειαν·
πέμποις δ᾽ εἰς ὀρέων κεφαλάς νούσους
τε καί ἄλγη.

(37) XXXVII. ΤΙΤΑΝΩΝ θυμίαμα, λίβανον

Τιτῆνες, Γαίης τε καί Οὐρανοῦ ἀγλαά
τέκνα,
ἡμετέρων πρόγονοι πατέρων, γαίης
ὑπένερθεν
οἴκοις ταρταρίοισι μυχῷ χθονός
ἐνναίοντες,
ἀρχαί καί πηγαί πάντων θνητῶν
πολυμόχθων,
εἰναλίων, πτηνῶν τε καί οἵ χθόνα
ναιετάουσιν·
ἐξ ὑμέων γάρ πᾶσα πέλει γενεή
κατά κόσμον.
ὑμέας κικλήσκω μῆνιν χαλεπήν
ἀποπέμπειν,
εἴ τις ἀπό χθονίων προγόνων οἴκοισι
πελάσθη.
πού προσέρχεσαι βοηθός εἰς τίς ἑτοιμόγενες, ἐνῶ ἡ ἰδία ἀγνοεῖς τούς πόνους τοῦ τοκετοῦ.
Ἐσύ λύεις τίς ζῶνες, ἀγαπᾷς τόν οἶστρον (τήν μανίαν), εἶσαι κυνηγός, μᾶς ἀπαλλάσσεις ἀπό τίς φροντίδες, τρέχεις πολύ, εἶσαι τοξεύτρια, φίλη τῶν ἀγροτῶν, περιφέρεσαι κατά τήν νύκτα,
εἶσαι τό καταφύγιον τῶν βασανισμένων, καταδεκτική, λυτρώτρια, μέ ἀρσενικήν μορφήν, ὀρθή, ἐπιταχύνεις τούς τοκετούς, θεά πού τρέφεις τά παιδιά τῶν ἀνθρώπων,
ἀγρότισσα, γῆινη, φόνισσα τῶν θηρίων, καλότυχη·
ἐσύ κατέχεις τά δάση τῶν βουνῶν, τοξεύεις τά ἐλάφια, εἶσαι ἡ σεμνή, ἡ σεβαστή, ἡ βασίλισσα τῶν πάντων, εἶσαι πάντοτε ὡραῖο βλαστάρι (τοῦ Διός), συχνάζεις εἰς τούς δρυμούς, ἡ προστάτις τῶν σκύλων, ἡ Κυδωνιάς, ἡ ποικιλόμορφος.
Ἔλα, ὦ θεά, γιά σωτηρία μας, ὡς φίλη εἰς ὅλους τούς μεμυημένους, εὐπρόσιτη, φέρουσα ὡραίους καρπούς ἀπό τήν γῆν καί τήν ἀξιέραστη εἰρήνη καί τήν ὑγείαν μέ τά ὡραῖα πλοκάμια· καί εἴθε νά ἀποπέμπῃς εἰς τάς κορυφάς τῶν βουνῶν τάς ἀσθενείας καί τούς πόνους.

(37) XXXVII. ΤΙΤΑΝΩΝ θυμίαμα, λίβανον

Ὦ σεῖς οἱ Τιτᾶνες, τά λαμπρά τέκνα τῆς Γῆς καί τοῦ Οὐρανοῦ, οἱ πρόγονοι τῶν ἰδικῶν μας πατέρων, πού ζούσατε ἄλλοτε ὑπεράνω τῆς γῆς, ἀλλά πού κατοικεῖτε τώρα εἰς τούς οἴκους τοῦ Ταρτάρου, εἰς τόν μυχόν (τό βάθος) τοῦ Ἅδου, σεῖς εἶσθε αἱ ἀρχαί καί αἱ πηγαί ὅλων τῶν θνητῶν τῶν πολυβασανισμένων, (ὅλων τῶν δημιουργημάτων πού ἀποθνήσκουν),
τῶν θαλασσίων δηλαδή καί τῶν ἱπταμένων καί ἐκείνων, πού ζοῦν εἰς τήν γῆν· διότι ἀπό σᾶς προέρχεται κάθε γένος εἰς τόν κόσμον (πού ὑπάρχει εἰς τόν κόσμον).
Ἐσᾶς ἐπικαλοῦμαι νά ἀποδιώξετε τήν ὀλεθρίαν ὀργήν, ἐάν κάποια (ὀργή) εἰσεχώρησεν εἰς τάς οἰκίας μας ἀπό τούς γῆινους προγόνους.

(38) XXXVIII. ΚΟΥΡΗΤΩΝ θυμίαμα, λίβανον.

Χαλκόκροτοι Κουρῆτες, ᾽Αρήϊα τεύχε᾽
ἔχοντες,
οὐράνιοι, χθόνιοί τε καί εἰνάλιοι, πολύολβοι,
ζωογόνοι πνοιαί, κόσμου σωτῆρες ἀγαυοί,
οἵ τε Σαμοθράκην, ἱερήν χθόνα, ναιετάοντες,
κινδύνους θνητῶν ἀπερύκετε ποντοπλανήτων·
ὑμεῖς καί τελετήν πρῶτοι μερόπεσσιν ἔθεσθε,
ἀθάνατοι Κουρῆτες, ᾽Αρήϊα τεύχε᾽ ἔχοντες·
νωμᾶτ᾽ ᾽Ωκεανόν, νωμᾶθ᾽ ἅλα, δένδρεά θ᾽ αὕτως.
ἐρχόμενοι γαῖαν κοναβίζετε ποσσίν ἑλαφροῖς
μαρμαίροντες ὅπλοις, πτήσσουσι δέ θῆρες ἅπαντες
ὁρμώντων, θόρυβος δέ βοή τ᾽ εἰς οὐρανόν ἵκει,
εἰλιγμοῖς τε ποδῶν κονίη νεφέλας ἀφικάνει
ἐρχομένων· τότε δή ρα καί ἄνθεα πάντα τέθηλεν.
δαίμονες ἀθάνατοι, τροφέες τε καί αὖτ᾽ ὀλετῆρες,
ἠνίκ᾽ ἄν ὁρμαίνητε χολούμενοι ἀνθρώποισιν,
ὀλλύντες βίοτον καί κτήματα, ἠδέ καί αὐτούς πλάζοντες· στοναχεῖ δέ μέγας πόντος
βαθυδίνης,
δένδρεα δ᾽ ὑψικάρηνα᾽ ἐκ ριζῶν ἐς χθόνα πίπτει·
ἠχώ δ᾽ οὐρανίη κελαδεῖ ροιζήμασι φύλλων.
Κουρῆτες, Κορύβαντες, ἀνάκτορες, εὐδύνατοί τε.
ἐν Σαμοθρᾴκῃ, ἄνακτες, ὁμοῦ Ζηνός κόροι αὐτοί·
πνοαί ἀέναοι, ψυχοτρόφοι, ἠεροειδεῖς·
οἵτε καί οὐράνιοι δίδυμοι κλῄζεσθ᾽ ἐν ᾽Ολύμπῳ
εὔπνοοι, εὔδιοι, σωτῆριοι, ἠδέ

(38) XXXVIII. ΚΟΥΡΗΤΩΝ θυμίαμα, λίβανον

Ὦ Κουρῆτες, πού κρατεῖτε τά χάλκινα τύμπανα καί ἔχετε πολεμικά ὅπλα, σεῖς οἱ ἐπουράνιοι καί οἱ γήϊνοι καί οἱ θαλάσσιοι, πολυευτυχισμένοι, πνοές πού γεννᾶτε ζωήν, ἔνδοξοι σωτῆρες τοῦ κόσμου,
πού κατοικεῖτε εἰς τήν Σαμοθράκην, τήν ἱεράν γῆν, καί ἀπομακρύνετε τούς κινδύνους ἀπό τούς ἀνθρώπους, πού περιπλανῶνται εἰς τήν θάλασσαν·
ἐσεῖς πρῶτοι καθιερώσατε καί τήν τελετουργίαν (τάς μυστικάς τελετάς),
ὦ ἀθάνατοι Κουρῆτες, πού φέρετε πολεμικά ὅπλα·
ἐσεῖς κινεῖτε τόν ᾽Ωκεανόν, ἐσεῖς κινεῖτε τήν θάλασσαν, ἐπίσης καί τά δένδρα·
καί ὅταν ἔρχεσθε εἰς τήν γῆν βροντᾶτε μέ τά ἐλαφρά πόδια σας, λάμποντες μέ τά ὅπλα σας, καί καταλαμβάνονται ἀπό φόβον ὅλα τά θηρία, ἐνῶ σεῖς ὁρμᾶτε, θόρυβος δέ καί βουητό φθάνει ἕως εἰς τόν οὐρανόν, καί ἐνῶ ἔρχεσθε μέ τούς ἑλιγμούς (τά στριφογυρίσματα) τῶν ποδιῶν σας ἡ σκόνη (ὁ κορνιαχτός) ἀπό τόν ἀνεμοστρόβιλον, πού σηκώνεται, φθάνει εἰς τά σύννεφα·
(τότε δά βέβαια καί ὅλα τά ἄνθη θάλλουν)
(ὁ στίχος ἀκατανόητος, πιθανῶς εἶναι ξένος).
Θεοί ἀθάνατοι, σεῖς πού τρέφετε (τούς ἀνθρώπους) καί πάλιν τούς καταστρέφετε,
ὅταν ὁρμᾶτε χολωμένοι ἐναντίον τῶν ἀνθρώπων,
καταστρέφοντες τήν περιουσίαν καί τά κτήματά των, ἀκόμη καί αὐτούς τούς ἰδίους ταλανίζοντες· τότε στενάζει ὁ μεγάλος πόντος μέ τούς βαθεῖς ἀνεμοστροβίλους, καί τά ὑψηλά δένδρα πέφτουν ἀπό τίς ρίζες των εἰς τήν γῆν (ξεριζώνονται ἀπό τήν δύναμιν τοῦ ἀνέμου) ἠχώ δέ προερχομένη ἐξ οὐρανοῦ φωνάζει μέ τά σφυρίγματα τῶν φύλλων, πού κινοῦνται μέ ὁρμήν.
Ὦ Κουρῆτες Κορύβαντες, βασιλεῖς καί ἰσχυροί,
πού βασιλεύετε εἰς τήν Σαμοθράκην, μαζί δέ οἱ ἴδιοι εἴσθε παιδιά τοῦ Διός· πνοές ἀδιάκοπες, πού τρέφετε τήν ψυχήν καί ἔχετε ὄψιν σκοτεινήν· σεῖς καί ἐπουράνιοι δίδυμοι ἐπονομάζεσθε εἰς τόν Ὄλυμπον, πού ἔχετε ὡραῖες πνοές (φυσήματα), σεῖς πού εἴσθε αἴθριοι, σωτήριοι καί εὐμενεῖς,

προσηνεῖς,
ὡροτρόφοι, φερέκαρποι, ἐπιπνείοιτε ἄνακτες.

πού τρέφετε τας ὥρας (τάς ἐποχάς) τοῦ ἔτους, πού φέρετε καρπούς, εἶθε, ὦ ἄνακτες, νά πνεύσετε (νά εὐνοήσετε) καί πρός ἡμᾶς.

Ὁ Ὑμνῳδός εἰς τόν 38ον ὕμνον, πού εἶναι ἀφιερωμένος εἰς τούς Κουρῆτας, τούς παρουσιάζει ὡς θεούς οὐρανίους, γηΐνους καί τῆς θαλάσσης «οὐράνιοι, χθόνιοί τε, καί εἰνάλιοι» (στίχος 2) καί τούς παρομοιάζει μέ τίς ζωογόνες πνοές τῶν ἀνέμων καί πού ὡς ἐκ τούτου παρέχουν ζωήν καί σῴζουν τόν κόσμον «ζωογόνοι πνοαί, κόσμου σωτῆρες ἀγαυοί» (στίχος 3) ἀλλά καί ἐσεῖς, λέγει ἀναταράσσετε τόν Ὠκεανόν καί τήν θάλασσαν καί τά δένδρα (εἰς τήν ξηράν) καί ὅταν δυσαρεστῆσθε καί θυμώνετε μέ τούς ἀνθρώπους, ὁρμᾶτε, ἐπιτίθεσθε κατ' αὐτῶν καί καταστρέφετε τά ὑπάρχοντά τους, τά κτήματά τους εἰς τήν ξηράν, μέ ἄγριες καταιγίδες, πού ξεσηκώνουν καί τόν ἀπέραντον πόντον, τήν θάλασσαν, πού ἀγριεύει καί ταλαιπωρεῖ τούς ταξιδεύοντας, ξερριζώνοντας ἀκόμη καί δένδρα στή ξηρά μέ τήν μανία τοῦ ἀνέμου (στίχος 15-19 καί 22-25 βλέπε μετάφρασιν εἰς τό κείμενον). Μέ ἄλλας λέξεις οἱ Κουρῆτες κατά τοῦς Ὀρφικούς ἦσαν φυσικαί δυνάμεις ἀγαθαί καί ὠφέλιμοι (οἱ ἄνεμοι ὅταν πνέουν σιγά, μέ ἠρεμίαν) καί τιμωροί δυνάμεις, πού θυμώνουν, ἐξοργίζονται καί τιμωροῦν τούς κακούς, τούς ἀσεβεῖς ἀνθρώπους μεταβαλλόμενοι εἰς καταιγίδας, πού συνταράσσουν τήν θάλασσαν καί προκαλοῦν καταστροφάς εἰς τήν ξηράν. Βεβαίως πρόκειται καί εἰς τήν περίπτωσιν τῶν Κουρήτων περί συμβολισμοῦ, ὁ ὁποῖος φυσικά ἦτο κατανοητός ἀπό τούς μυημένους. Περί συμβολισμοῦ καί τῆς λατρείας τῶν Ὀρφικῶν βλέπε ὑποσημειώσεις εἰς τό τέλος τῶν «Ὕμνων» τοῦ Ὀρφέως.

Ι.Δ.Π.

(39) XXXIX. ΚΟΡΥΒΑΝΤΟΣ θυμίαμα, λίβανον.

Κικλήσκω χθονός ἀενάου βασιλῆα μέγιστον,
Κύρβαντ' ὀλβιόμοιρον. ἀρήϊον, ἀπροσόρατον,
νυκτερινόν Κούρητα, φόβων ἀποπαύστορα δεινῶν,
φαντασιῶν ἐπαρωγόν, ἐρημόπλανον Κορύβαντα.
αἰολόμορφον ἄνακτα, θεόν διφυῆ, πολύμορφον,
φοίνιον, αἱμαχθέντα κασιγνήτων ὑπό δισσῶν·
Δηοῦς ὃς γνώμῃσιν ἐνήλλαξας δέμας ἁγνόν,
θηρότυπον θέμενος μορφήν δνοφεροῖο δράκοντος·
κλῦθι, μάκαρ, φωνῶν, χαλεπήν δ' ἀποπέμπεο μῆνιν,
παύων φαντασίας ψυχῆς ἐκπλήκτου ἀνάγκης.

(39) XXXIX. ΚΟΡΥΒΑΝΤΟΣ θυμίαμα, λίβανον

Καλῶ τόν μέγιστον βασιλέα τῆς αἰωνίας γῆς, τόν καλότυχο Κορύβαντα, τόν πολεμικόν, πού κανείς δέν ἠμπορεῖ νά τόν ἀντιμετωπίσει, τόν νυκτερινόν Κούρητα, πού καταπαύει τούς τρομερούς φόβους· αὐτόν πού ἔρχεται βοηθός τῶν φαντασμάτων, τόν Κορύβαντα πού περιπλανᾶται εἰς τήν ἔρημον·
τόν ποικιλόμορφον ἄνακτα, τόν θεόν μέ τάς δύο φύσεις, τόν πολύμορφον, τόν ἐρυθρόν ὡσάν τό αἷμα, αὐτόν πού σφάχθηκε ἀπό δύο ἀδελφούς· ἐσένα πού κατά τάς γνώμας τῆς Δηοῦς ἄλλαξες τό ἁγνόν σῶμά σου καί εἰς τήν θέσιν του ἔβαλες τήν θηριοειδῆ μορφήν μαύρου δράκοντος· ἄκουσε, μακάριε, τάς φωνάς μου, καί ἀπόδιωξε τήν φοβεράν ὀργήν καί κατάπαυσε τά φαντάσματα τῆς ψυχῆς, πού εἶναι προϊόντα τῆς καταπληκτικῆς ἀνάγκης.

(40) XL. ΔΗΜΗΤΡΟΣ Ἐλευσινίας θυμίαμα στύρακα.

Δηοῖ παμμήτειρα, θεά, πολυώνυμε δαῖμον,

(40) XL. ΔΗΜΗΤΡΟΣ Ἐλευσινίας θυμίαμα στύρακα - ἡδύοσμον

Ὦ Δηώ μητέρα τῶν πάντων, θεά, δαιμονία μέ τά πολλά ὀνόματα,

σεμνή Δήμητερ, κουροτρόφος, ὀλβιοδῶτι,
πλουτοδότειρα θεά, σταχυοτρόφε, παντοδότειρα,
εἰρήνῃ χαίρουσα καὶ ἐργασίαις πολυμόχθοις,
σπερμείη, σωρῖτις, ἀλωαίη, χλοόκαρπε,
ἥ ναίεις ἀγνοῖσιν Ἐλευσῖνος γυάλοισιν.
ἱμερόεσσ' ἐρατή, θνητῶν θρέπτειρα προπάντων
πρώτη ὑποζεύξασα βοῶν ἀροτῆρα τένοντα.
καὶ βίον ἱμερόεντα βροτοῖς πολύοβλον ἀνεῖσα·
αὐξιθαλής, Βρομίοιο συνέστιος, ἀγλαότιμος.
λαμπαδόεσσ', ἁγνή, δρεπάνοις χαίρουσα θερείοις.
σύ χθονίη, σύ δέ φαινομένη, σύ δέ πᾶσι προσηνής·
εὔτεκνε, παιδοφίλη, σεμνή, κουροτρόφε κούρη,
ἅρμα δρακοντείουσιν ὑποζεύξασα χαλινοῖς,
ἐγλυκλίοις δίναις περί σόν θρόνον εὐαζόντων.
μουνογενής, πολύτεκνε θεά, πολυπότνια θνητοῖς,
ἧς πολλαί μορφαί, πολυάνθεμοι, ἱεροθηλεῖς·
ἐλθέ, μάκαιρ', ἁγνή, καρποῖς βρίθουσα θερείοις,
εἰρήνην κατάγουσα καὶ εὐνομίην ἐρατεινήν.
καὶ πλοῦτον πολύοβλον, ὁμοῦ δ' ὑγίειαν ἄνασσαν.

σεβαστή Δήμητρα, πού τρέφεις τά παιδιά καί δίδεις τήν εὐτυχίαν, ὦ θεά πού δίδεις τόν πλοῦτον, τρέφεις τά στάχυα, παρέχεις τά πάντα καί χαίρεσαι εἰς τήν εἰρήνην καί εἰς τάς ἐργασίας, πού ἀπαιτοῦν πολύν μόχθον·
σύ εἶσαι ἡ προστάτις τῶν σπερμάτων, σύ δίδεις σωρούς ἀπό σιτάρι, ἡ συχνάζουσα εἰς τά ἀλώνια, ἐσύ παράγεις χλωρούς καρπούς, καί κατοικεῖς στίς ἱερές κοιλάδες τῆς Ἐλευσῖνος· εἶσαι περιπόθητη, ἀγαπητή, τροφός ὅλων τῶν θνητῶν, καί πρώτη ἐσύ ἔζευξες τόν αὐχένα τῶν βοδιῶν πρός καλλιέργειαν,
καί ἔφερες εἰς τούς ἀνθρώπους βίον περιπόθητον, πολυευτυχισμένον· βοηθεῖς εἰς τήν αὔξησιν τῶν καρπῶν, εἶσαι σύνοικος τοῦ Βρομίου, (τοῦ Διονύσου) τιμᾶσαι μέ λαμπρότητα, κρατεῖς λαμπάδα, εἶσαι ἁγνή, καί χαίρεσαι μέ τά θερινά δρέπανα· σύ εἶσαι κάτω ἀπό τήν γῆν, ἀλλά φαίνεσαι, καί εἶσαι πρός ὅλους φιλική· ὦ σύ ἡ φιλόστοργος, πού ἀγαπᾶς τά παιδιά, ἡ σεβαστή, πού εἶσαι κόρη καί τρέφεις παιδιά, πού ἔζευξες εἰς ἅρμα μέ δρακόντεια χαλινάρια ὀπαδούς τοῦ Διονύσου πού ἐκραύγαζον περιδινούμενοι (περιστρεφόμενοι) κυκλικῶς γύρω ἀπό τόν θρόνο σου,
θεά μονογενής καί πολύτεκνος καί πολυσέβαστη εἰς τούς ἀνθρώπους, πού ἔχεις πολλές μορφές, γεμάτες ἀπό πολλά ἄνθη, πού θάλλουν ἀπό ἱερότητα·
ἔλα, ὦ μακαρία, ἁγνή, πού εἶσαι γεμάτη ἀπό καλοκαιριάτικους καρπούς, καί φέρε μας κάτω εἰρήνην καί εὐνομίαν περιπόθητη καί πλοῦτον πολυευτυχισμένον, μαζί δέ μέ αὐτά καί τήν βασίλισσαν ὑγείαν.

(41) XLI. ΜΗΤΡΟΣ ΑΝΤΑΙΑΣ θυμίαμα, ἀρώματα.

Ἀνταίη βασίλεια, θεά, πολυώνυμε μῆτερ
ἀθανάτων τε θεῶν ἠδέ θνητῶν ἀνθρώπων,
ἥ ποτε μαστεύουσα πολυπλάγκτῳ ἐν ἀνίῃ,
νησταίαν κατέπαυσας Ἐλευσῖνος γυάλοισιν.
ἦλθές τ' εἰς Ἀΐδην πρός ἀγαυήν Περσεφόνειαν,

(41) XLI. ΜΗΤΡΟΣ ΑΝΤΑΙΑΣ θυμίαμα, ἀρώματα

Ἀνταία βασίλισσα, θεά, ὀνομαστή μητέρα τῶν ἀθανάτων θεῶν καί τῶν θνητῶν ἀνθρώπων, σύ πού κάποτε ἐρευνῶσα μέσα σέ μιά πολυπλάνητη θλῖψι κατέπαυσες τήν νηστείαν (τήν πεῖναν) εἰς τάς κοιλάδας τῆς Ἐλευσῖνος, καί κατέβης εἰς τόν Ἅδην πρός τήν ἔνδοξον Περσεφόνην, ἀφοῦ σοῦ ἔτυχε νά ἔχῃς ὡς

ἁγνόν παῖδα Δυσαύλου ὁδηγητῆρα
λαχοῦσα,
μηνυτῆρ᾽ ἁγίων λέκτρων χθονίου Διός
ἀγνοῦ,
Εὔβουλον τέξασα θεόν θνητῆς ὑπ᾽
ἀνάγκης.
ἀλλά, θεά, λίτομαί σε, πολυλλίστη
βασίλεια,
ἐλθεῖν εὐάντητον ἐπ᾽ εὐϊέρῳ σέο μύστῃ.

ὁδηγόν τό ἁγνό παιδί τοῦ Δυσαύλου, πού ἀπεκάλυψε (ἐφανέρωσε τό ἁγνό παιδί) τά ἱερά κρεββάτια τοῦ ἁγνοῦ ὑποχθονίου Διός,
καί ἐγέννησες τόν Εὔβουλον, πού ἦτο θεός, ὑποκύψασα εἰς ἀνάγκην θνητῆς. Ἀλλά, ὦ θεά, παρακαλῶ ἐσένα τήν βασίλισσα, πού δέχεσαι πολλές ἱκεσίες, νά ἔλθῃς καταδεκτική εἰς τόν ἱερόν μύστην σου.

(42) XLII. ΜΙΣΗΣ θυμίαμα, στύρακα.

Θεσμοφόρον καλέω ναρθηκοφόρον Διόνυσον,
σπέρμα πολύμνηστον πολυώνυμον Εὐβουλῆος,
ἀγνήν τ᾽ εὐιερόν τε Μίσην, ἄρρητον ἄνασσαν,
ἄρσενα καὶ θῆλυν, διφυῆ λύσιον Ἴακχον·
εἴτ᾽ ἐν Ἐλευσῖνος τέρπῃ νηῷ θυόεντι,
εἴτε καί ἐν Φρυγίῃ σύν μητέρι μυστιπολεύεις,
ἢ Κύπρῳ τέρπῃ σύν ἐϋστεφάνῳ Κυθερείῃ,
ἢ καί πυροφόροις πεδίοις ἐπαγάλλεαι ἀγνοῖς,
σύν σῇ μητρί θεᾷ μελανηφόρῳ Ἰσιδι σεμνῇ,
Αἰγύπτου παρά χεῦμα, σύν ἀμφιπόλοισι τιθήναις·
εὐμενέουσ᾽ ἔλθοις ἀγάθ᾽ ἐκτελέουσ᾽ ἐπ᾽ ἀέθλοις.

(42) XLII. ΜΙΣΗΣ θυμίαμα, στύρακα - ἡδύοσμον

Τόν Διόνυσον προσκαλῶ, πού βάζει θεσμούς καί φέρει ραβδί, πού εἶναι σπέρμα πολυενθύμητο καί ἔνδοξον τοῦ Εὐβούλου, καί τήν ἀγνήν ἱερωτάτην Μίσην (προσκαλῶ), τήν ἀπερίγραπτον βασίλισσαν,
ἀρσενικήν καί θηλυκήν, τόν δίμορφον λυτρωτήν Ἴακχον· εἴτε τέρπεσαι μέσα εἰς τόν εὐώδη ναόν τῆς Ἐλευσῖνος, εἴτε καί εἰς τήν Φρυγίαν τελεῖς μυστηριακάς τελετουργίας μαζί μέ τήν μητέρα,
ἤ εἰς τήν Κύπρον τέρπεσαι μαζί μέ τήν καλλιστέφανη Κυθέρεια, ἤ καί εἰς τάς σιτοφόρους ἱεράς πεδιάδας εὐφραίνεσαι
μαζί μέ τήν μητέρα θεάν, τήν σεμνήν μαυροφόρα Ἶσιν πλησίον εἰς τά νερά τοῦ ποταμοῦ Αἰγύπτου, (τοῦ Νείλου) μαζί μέ τίς ὑπηρέτριες παραμάννες· **(ἑρμηνείαν αὐτοῦ τοῦ Ὕμνου βλέπε εἰς σχόλια πού παρατίθενται εἰς τό τέλος τῶν «Ὕμνων τοῦ Ὀρφέως»).**
εἴθε νά μᾶς ἔλθῃς μέ εὐμενῆ διάθεσιν ἐκτελοῦσα καλά ἔργα κατά τούς ἀγῶνας.

(43) XLIII. ΩΡΩΝ θυμίαμα, ἀρώματα.

Ὧραι, θυγατέρες Θέμιδος καί Ζηνός ἄνακτος,
Εὐνομίη τε, Δίκη τε, καί Εἰρήνη πολύολβε,
εἰαριναί, λειμωνιάδες, πολυάνθεμοι, ἀγναί,
παντόχροοι, πολύοδμοι ἐν ἀνθεμοειδέσι πνοιαῖς,
Ὧραι ἀειθαλέες, περικυκλάδες, ἡδυπρόσωποι·
πέπλους ἐννύμεναι δροσερούς ἀνθέων πολυθρέπτων,
* * Περσεφόνης συμπαίκτορες, εὖτέ ἐ

(43) XLIII. ΩΡΩΝ θυμίαμα, ἀρώματα

Ὧραι, θυγατέρες τῆς Θέμιδος καί τοῦ ἄνακτος Διός, καί σύ Εὐνομία καί Δικαιοσύνη καί Εἰρήνη πολυευτυχισμένη, ἐαρινές, πού ἀρέσκεσθε στά λιβάδια, πολυανθοστόλιστες,
ἀγναί, πού ἔχετε ὅλα τά χρώματα καί ὡραίαν εὐωδίαν, πού προέρχεται ἀπό τῆς πνοές πολλῶν ἀνθέων·
ὦ Ὧραι, πού εἶσθε πάντοτε θαλερές, καί περιστρέφεσθε κυκλικῶς, πού ἔχετε γλυκό πρόσωπο·
καί εἶσθε ντυμένες μέ δροσερά πέπλα ἀπό ἄνθη. **(μικρόν χάσμα τοῦ κειμένου)**

Μοῖραι
καί Χάριτες κυκλίοισι χοροῖς πρός φῶς ἀνάγωσιν,
Ζηνί χαριζόμεναι καί μητέρι καρποδοτείρῃ,
ἔλθετ' ἐπ' εὐφήμους τελετάς ὁσίας νεομύστοις,
εὐκάρπους καιρῶν γενέσεις ἐπάγουσαι ἀμεμφῶς.

Παίζετε μαζί μέ τήν Περσεφόνην, ὅταν αἱ Μοῖραι καί αἱ Χάριτες μέ κυκλικούς χορούς ὁδηγοῦν αὐτήν ἐπάνω εἰς τό φῶς, διά νά εὐχαριστήσουν τόν Δία καί τήν μητέρα της, πού δίδει τούς καρπούς· (τήν Δήμητρα).
ἐλᾶτε, ὦ Ὧραι, εἰς τούς νεομεμυημένους κατά τάς εὐσεβεῖς ἱεράς τελετουργίας
καί φέρτε μαζί σας ἀρίστους παραγωγικούς καιρούς, πού θά φέρουν στόν κατάλληλο καιρό καρπούς ὡραίους.

(44) XLIV.ΣΕΜΕΛΗΣ θυμίαμα, στύρακα.

Κικλήσκω κούρην Καδμηΐδα παμβασίλειαν,
εὐειδῆ Σεμέλην, ἐρατοπλόκαμον, βαθύκολπον,
μητέρα θυρσοφόροιο Διωνύσου πολυγηθοῦς,
ἥ μεγάλας ὠδῖνας ἐλάσσατο πυρφόρῳ αὐγῇ,
ἀθανάτοιο τεκοῦσα Διός βουλαῖς Κρονίοιο·
τιμάς τευξαμένη παρ' ἀγαυῆς Περσεφονείης·
ἐν θνητοῖσι βροτοῖσιν ἀνά τριετηρίδας ὥρας,
ἡνίκα σοῦ Βάκχου γονίμην ὠδῖνα τελῶσιν,
εὐΐερόν τε τράπεζαν ἰδέ μυστήριά θ' ἁγνά.
νῦν σέ, θεά, λίτομαι, κούρη Καδμηΐς ἄνασσα,
πρηΰνοον καλέων αἰεί μύστῃσιν ὑπάρχειν.

(44) XLIV. ΣΕΜΕΛΗΣ θυμίαμα, στύρακα - ἡδύοσμον

Τήν κόρην τοῦ Κάδμου ἐπικαλοῦμαι, τήν βασίλισσαν τῶν πάντων, τήν ὡραίαν Σεμέλην μέ τά ἀξιέραστα πλοκάμια, τήν βαθύκολπο, τήν μητέρα τοῦ Διονύσου, πού κρατεῖ θύρσον, πού παρέχει μεγάλην εὐθυμίαν,
ἡ ὁποία ὑπέφερε πολύ κατά τήν γέννησιν τοῦ Διονύσου, πού ἔγινε κατά τήν αὐγήν, πού φέρνει τό φῶς,
καί ἐγέννησε κατά τάς βουλάς (τάς προθέσεις) τοῦ ἀθανάτου Διός, υἱοῦ τοῦ Κρόνου·
καί ἐπέτυχε νά λάβῃ ἀπό τήν ὀνομαστήν Περσεφόνην τιμάς μεταξύ τῶν θνητῶν ἀνθρώπων κατά τριετίαν,
ὅταν τελοῦν (κάμνουν τελετήν, ἑορτάζουν) τήν γέννησιν τοῦ ἰδικοῦ σου Βάκχου
καί τήν ἱεράν τράπεζαν καί τά ἁγνά μυστήρια.
Τώρα, ὦ θεά, βασίλισσα, κόρη τοῦ Κάδμου, ἐσένα ἱκετεύω καί σέ καλῶ νά ἔχῃς πάντοτε καλήν διάθεσιν πρός τούς μεμυημένους.

(45) XLV. Ὕμνος ΔΙΟΝΥΣΟΥ ΒΑΣΣΑΡΕΩΣ ΤΡΙΕΤΗΡΙΚΟΥ.

Ἐλθέ, μάκαρ Διόνυσε, πυρίσπορε, ταυρομέτωπε,
Βάσσαρε καί Βακχεῦ, πολυώνυμε, πανταδυνάστα,
ὅς ξίφεσιν χαίρεις, ἠδ' αἵματι, Μαινάσι θ' ἁγναῖς·
εὐάζων κατ' Ὄλυμπον, ἐρίβρομε, μαινόλα Βάκχε,
θυρσεγχής, βαρύμηνι, τετιμένε πᾶσιν θεοῖσιν
καί θνητοῖσι βροτοῖσιν, ὅσοι χθόνα ναιετάουσιν·

(45) XLV. Ὕμνος ΔΙΟΝΥΣΟΥ ΒΑΣΣΑΡΕΩΣ ΤΡΙΕΤΗΡΙΚΟΥ

Ἔλα, μακάριε Διόνυσε, πού σπάρθηκες στή φωτιά καί πού ἔχεις μέτωπον ταύρου,
ὦ Βάσσαρε καί Βακχέα, μέ τά πολλά ὀνόματα, **(420 ὀνόματά του ἀναφέρει εἰς τήν Ὠγυγίαν ὁ Σταγειρίτης, βλέπε σχόλια εἰς τό τέλος τῶν Ὕμνων)** παντοδύναμε, πού χαίρεσαι μέ τά ξίφη καί μέ το αἷμα καί μέ τίς ἁγνές Μαινάδες· ἐσύ πού κραυγάζεις στόν Ὄλυμπο, ὁ θορυβώδης, ὁ μανιακός Βάκχος, πού ἔχεις γιά δόρυ τόν θύρσον, ὠργισμένε, τιμημένε ἀπό ὅλους τούς θεούς καί μεταξύ ὅλων τῶν θνητῶν ἀνθρώπων, ὅσοι κατοικοῦν εἰς τήν γῆν·

ἐλθέ, μάκαρ, σκιρτητά, φέρων πολύ γῆθος ἅπασιν.

(46) XLVI. ΛΙΚΝΙΤΟΥ θυμίαμα, μάνναν.

Λικνίτην Διόνυσον ἐπ᾽ εὐχαῖς ταῖσδε κικλήσκω,
Νύσιον, ἀμφιθαλῆ, πεποθημένον,
εὔφρονα Βάκχον·
νυμφέων ἔρνος ἐραστόν, ἐϋστεφάνου τ᾽ Ἀφροδίτης,
ὃς ποτ᾽ ἀνά δρυμούς κεχορευμένα βήματα πάλλες
σύν νύμφαις χαρίεσσιν, ἐλαυνόμενος μανίῃσιν
καί βουλῇσι Διός πρός ἀγαυήν Φερσεφόνειαν
ἀχθείς ἐξετράφης, φίλος ἀθανάτοισι θεοῖσιν.
εὔφρων ἐλθέ, μάκαρ, κεχαρισμένα δ᾽ ἱερά δέξαι.

(47) XLVII. ΒΑΚΧΟΥ περικιονίου θυμίαμα, ἀρώματα.

Κικλήσκω Βάκχον περικιόνιον, μεθυδώτην,
Καδμείοισι δόμοις ὅς ἑλισσόμενος πέρι πάντῃ,
ἔστησεν κρατερούς βρασμούς γαίης ἀποπέμψας·
ἡνίκα πυρφόρος αὐγή ἐκίνησεν χθόνα πᾶσαν,
πρηστῆρος ροίζοις· ὃ δ᾽ ἀνέδραμε δεσμός ἁπάντων.
ἐλθέ, μάκαρ, βακχευτά, γεγηθυίαις πραπίδεσσιν.

(48) XLVIII. ΣΑΒΑΖΙΟΥ θυμίαμα, ἀρώματα.

Κλῦθι, πάτερ, Κρόνου υἱέ Σαβάζιε, κύδιμε δαῖμον,
ὃς Βάκχον Διόνυσον ἐρίβρομον εἰραφιώτην
μηρῷ ἐγκατέρραψας, ὅπως τετελεσμένος ἔλθοι
Τμῶλον ἐς ἠγάθεον, παρά θ᾽ Ἵππαν καλλιπάρῃον.
ἀλλά μάκαρ, Φρυγίης μεδέων,

ἔλα, μακάριε, πηδηχτή, καί φέρε μεγάλην χαράν εἰς ὅλους.

(46) XLVI. ΛΙΚΝΙΤΟΥ θυμίαμα, μάνναν

Τόν Λικνίτην Διόνυσον προσκαλῶ εἰς αὐτές τίς προσευχές, τόν Νύσιον, τόν θαλερόν εἰς ὅλα, τόν περιπόθητον, τόν εὐφρόσυνον Βάκχον· τό ἀξιέραστο βλαστάρι τῶν νυμφῶν καί τῆς Ἀφροδίτης μέ τό ὡραῖο στεφάνι·
σύ κάποτε κινοῦσες ἀνά τά δάση χορευτικά βήματα μαζί μέ χαριτωμένες νύμφες, παρασυρόμενος ἀπό μανίες·
καί μέ τήν θέλησιν τοῦ Διός μετήχθης εἰς τήν ἔνδοξον Περσεφόνην καί ἀνετράφης, ἀγαπητός εἰς τούς ἀθανάτους θεούς.
Ἔλα, μακάριε, μέ εὐφροσύνην καί δέξου τάς θυσίας, *πού σοῦ ἐχαρίσαμεν (πού προσφέραμε πρός χάριν σου).*

(47) XLVII. ΒΑΚΧΟΥ περικιονίου θυμίαμα, ἀρώματα

Τόν Βάκχον τόν περίστυλον ἐπικαλοῦμαι, τόν δωρητήν τοῦ κρασιοῦ, ὁ ὁποῖος περιελισσόμενος (περιστρεφόμενος) πρός κάθε κατεύθυνσιν εἰς τά δώματα τοῦ Κάδμου
ἐστήριξε τήν γῆν, ἀφοῦ ἀπεμάκρυνε τούς ἰσχυρούς κλονισμούς (σεισμούς), ὅταν ἡ αὐγή, πού φέρει τό πῦρ, ἐτάραξε ὅλην τήν γῆν μέ τά ὁρμητικά σφυρίγματα τοῦ κεραυνοῦ· καί ἐκεῖνος ἔτρεξεν ἐπάνω ὡς σύνδεσμος (στήριγμα) ὅλων.
Ἔλα, μακάριε, βακχευτή, μέ χαρούμενες διαθέσεις.

(48) XLVIII. ΣΑΒΑΖΙΟΥ θυμίαμα, ἀρώματα

Ἄκουσέ με, πατέρα Σαβάζιε, υἱέ τοῦ Κρόνου, (ὑπονοεῖ τόν Δία), ἔνδοξε θεέ, σύ πού ἔρραψες μέσα εἰς τόν μηρόν σου τόν Βάκχον Διόνυσον, τόν φωνακλά (τόν δυνατά φωνάζοντα), τόν μηροραμμένον, διά νά ὑπάγῃ μεμυημένος εἰς τόν ἱερόν Τμῶλον, πλησίον εἰς τήν ὡραίαν Ἵππαν.
Ἀλλά, ὦ μακάριε, ἐσύ πού κυβερνᾷς τήν Φρυ-

βασιλεύτατε πάντων,
εὐμενέων ἐπαρωγός ἐπέλθοις
μυστιπόλοισιν.

(49) XLIX ΙΠΠΑΣ θυμίαμα, στύρακα.

Ἵππαν κικλήσκω Βάκχου τροφόν,
εὐάδα κούρην,
μυστιπόλον τελετῆσιν ἀγαλλομένην
Σάβου
ἀγνοῦ,
νυκτερίοισι χοροῖσιν ἐριβρεμέταο
Ἰάκχου.
κλῦθί μευ εὐχομένου, χθονίη μήτηρ, βασίλεια,
εἴτε σύ γ' ἐν Φρυγίῃ κατέχεις Ἴδης
ὄρος ἀγνόν,
ἢ Τμῶλος τέρπει σε, καλόν Λυδοῖσι θόασμα·
ἔρχεο πρός τελετάς ἱερῷ γήθουσα
προσώπῳ.

(50) L. ΛΥΣΙΟΥ ληναίου ὕμνος.

Κλῦθι, μάκαρ, Διός υἱ', ἐπιλήνιε
Βάκχες, διμήτωρ,
σπέρμα πολύμνηστον, πολυώνυμε, λύσιε
δαῖμον.
κρυψίγονον μακάρων ἱερόν θάλος, εὖιε
Βάκχε,
εὐτραφές, εὔκαρπος, πολυγηθέα καρπόν
ἀέξων,
ρηξίχθων, ληναῖε, μεγασθενές,
αἰολόμορφε·
παυσίπονον θνητοῖσι φανείς ἄκος, ἱερόν
ἄνθος,
χάρμα βροτοῖς φιλάλυπον, ἐφάπτορ,
καλλιέθειρε,
λύσιε, θυρσομανές, βρόμι· εὖιε πᾶσιν
εὔφρων,
οἷς ἐθέλεις θνητῶν ἡδ' ἀθανάτων σέ
πιφαύσκειν·
νῦν σε καλῶ μύστῃσι μολεῖν ἡδύν,
φερέκαρπον.

(51) LI. ΝΥΜΦΩΝ θυμίαμα, ἀρώματα.

Νύμφαι, θυγατέρες μεγαλήτορος
Ὠκεανοῖο,

γίαν καὶ εἶσαι ὁ μεγαλύτερος ἀπό ὅλους βασιλεύς,
εἴθε νά ἔλθῃς ὡς εὐμενής βοηθός εἰς τούς τελοῦντας μυστηριακάς τελετουργίας.

(49) XLIX. ΙΠΠΑΣ θυμίαμα, στύρακα -ἡδύοσμον

Τήν Ἵππαν καλῶ, την τροφόν τοῦ Βάκχου, τήν κόρην πού τιμᾷ τόν Βάκχον, τήν μεμυημένην, πού εὐφραίνεται μέ τάς τελετουργίας τοῦ ἁγνοῦ Σάβου,
κατά τούς νυκτερινούς χορούς τοῦ Ἰάκχου, πού προξενεῖ μεγάλον θόρυβον.
Ἄκουσε τήν προσευχήν μου, σύ ἡ γηΐνη μητέρα, ἡ βασίλισσα, εἴτε κατέχεις (κατοικεῖς) εἰς τήν Φρυγίαν τό ἱερόν ὄρος τῆς Ἴδης, ἤ σέ εὐχαριστεῖ ὁ Τμῶλος, πού γιά τούς Λυδούς εἶναι ὡραῖος τόπος γιά χορό·
ἔλα εἰς τάς τελετάς χαρούμενη μέ ἱερόν πρόσωπον.

(50) L. ΛΥΣΙΟΥ Ληναίου ὕμνος

Ἄκουσε, μακάριε, υἱέ τοῦ Διός, Βάκχε πού ἔχεις σχέσιν μέ τό πατητήρι (τῶν σταφυλιῶν), μέ τίς δύο μητέρες,
γέννημα πολυενθύμητον, ἔνδοξε, θεέ πού ἀπολυτρώνεις.
Σύ εἶσαι τό ἱερό βλαστάρι, ὦ εὖιε Βάκχε, πού γεννήθηκες κρυφά, τό καλοθρεμμένο,
σύ δίδεις πολλούς καρπούς καί αὐξάνεις τόν καρπόν, πού μᾶς παρέχει μεγάλην χαράν,
σύ διαρρηγνύεις τήν γῆν, (καί αὐξάνεις τά φυτά πού μᾶς φέρουν καρπούς), πού ἔχεις σχέσιν μέ τά πατητήρια, πού βγάζουν τό κρασί·
εἶσαι μεγαλοδύναμος καί ποικιλόμορφος·
ἐνεφανίσθης εἰς τούς ἀνθρώπους ὡς ἰατρικόν (ὡς θεραπευτικόν μέσον), πού καταπαύει τούς πόνους, ὡς ἱερόν ἄνθος,
ὡς χαρά γιά τούς ἀνθρώπους, πού ἀγαποῦν τόν χωρίς λύπες βίον, ἐσύ θωπεύεις καί ἔχεις ὡραίαν κόμην,
ἀπολυτρώνεις, ἔχεις μανίαν, ὅταν κρατῆς τόν θύρσον, εἶσαι θορυβώδης, βακχικός, εὐχάριστος εἰς ὅλους,
εἰς ὅσους ἀνθρώπους καί θεούς θέλεις νά φανερώνεσαι.
Τώρα σέ προσκαλῶ νά ἔλθῃς εἰς τούς μύστας μέ γλυκύτητα καί νά φέρῃς καλούς καρπούς.

(51) LI. ΝΥΜΦΩΝ θυμίαμα, ἀρώματα

Νύμφαι, θυγατέρες τοῦ μεγαλόκαρδου Ὠκεανοῦ,

ὑγροπόροις γαίης ὑπό κεύθεσιν οἰκί᾽ ἔχουσαι,
κρυψίδομοι, λειμωνιάδες, σκολιόδρομοι, ἄγναί,
ἀντροχαρεῖς, σπήλυγξι κεχαρμέναι, ἠερόφοιτοι.
πηγαῖαι, δρομάδες, δροσοείμονες, ἴχνεσι κοῦφαι
φαινόμεναι, ἀφανεῖς, αὐλωνιάδες, πολυανθεῖς·
σύν Πανί σκιρτῶσαι ἀν᾽ οὔρεα, εὐάστειραι,
πετρόρυτοι, λιγυραί, κρουνίτιδες, ὑλονόμοι τε·
παρθένοι εὐώδεις, λευχείμονες, εὔπνοοι αὔραις,
αἰπολικαί, νόμιαι, θηρσίν φίλαι, ἀγλαόκαρποι,
δρυμοχαρεῖς, ἀπαλαί, πολυθρέμμονες, αὐξίτροφοί τε·
κοῦραι ἁμαδρυάδες, φιλοπαίγμονες, ὑγροκέλευθοι,
Νύσιαι, οἰστρομανεῖς, παιωνίδες, εἰαροτερπεῖς,
σύν Βάκχῳ Δηοῖ τε χάριν θνητοῖσι φέρουσαι·
ἔλθετ᾽ ἐπ᾽ εὐφήμοις ἱεροῖς κεχαρηότι θυμῷ,
νᾶμα χέουσ᾽ ὑγιεινόν ἀεξιτρόφοισιν ἐν ὥραις.

σεῖς πού ἔχετε τάς κατοικίας σας εἰς τά βάθη τῆς γῆς σέ δρόμους ὑγρούς (ὑδατίνους),
καί κατοικεῖτε σέ κρυφούς τόπους, πού ἐθρέψατε τόν Βάκχον, γῆϊνες, πού παρέχετε μεγάλην χαράν,
πού τρέφετε τούς καρπούς καί ζῆτε στά λιβάδια· σεῖς πού γυρίζετε στά λοξοειδῆ μονοπάτια, αἱ ἀγναί,
πού χαίρεσθε στά σπήλαια (καί εἶσθε ἡ χαρά τῶν σπηλαίων) καί περιπλανᾶσθε εἰς τόν ἀέρα.
σεῖς ζῆτε εἰς τάς πηγάς καί κινεῖσθε γρήγορα, ἔχετε τήν δροσιά γιά φόρεμα καί πόδια ἐλαφρά·
φανερώνεσθε, ἀλλά καί δέν φαίνεσθε, ζῆτε εἰς τάς κοιλάδας καί ἔχετε πολλά ἄνθη·
μαζί μέ τόν Πᾶνα πηδᾶτε ἐπάνω στά βουνά, ἐνθουσιαστικαί, πού βγαίνετε ἀπό τις πέτρες,
εἶσθε λιγυρόφωνες, προέρχεσθε ἀπό τίς βρύσες, καί ζῆτε εἰς τά δάση·
εἶσθε ἁρωματισμένες παρθένες, ντυμένες στά λευκά, ἀποπνέετε ὡραῖες αὖρες,
ἔχετε σχέσιν μέ τούς αἰγοβοσκούς, μέ τούς ποιμένας, εἶσθε φίλαι τῶν θηρίων, φέρετε ὡραίους καρπούς·
χαίρεσθε στούς δρυμούς, εἶσθε ἁπαλές, τρέφετε πολλούς, βοηθεῖτε εἰς τήν αὔξησιν·
εἶσθε κόρες πού γεννηθήκατε μαζί μέ τίς βαλανιδιές, ἀγαπᾶτε τά παιγνίδια, περπατᾶτε στά νερά,
Νύσιαι, μανιακές, θεραπευτικές, εὐχαριστεῖσθε μέ τήν ἄνοιξιν, καί μαζί μέ τόν Βάκχο καί τήν Δηώ φέρετε χαράν εἰς τούς ἀνθρώπους.
Ἐλᾶτε μέ χαρούμενη καρδιά στίς ἱερές θυσίες καί χύνετε νερό ὑγιεινό σέ ὥρες (σέ ἐποχές), πού βοηθοῦν τήν αὔξηση τῶν καρπῶν.

(52) LII. ΤΡΙΕΤΗΡΙΚΟΥ θυμίαμα, ἀρώματα.

Κικλήσκω σε, μάκαρ, πολυώνυμε, μαινόλα, Βακχεῦ,
ταυρόκερως, ληναῖε, πυρισπόρε, Νύσιε, λυσεῦ,
μητροτρεφής, λικνῖτα, πυρίπνοε καί τελετάρχα·
νυκτέρι᾽, Εὐβουλεῦ, μιτρηφόρε, θυρσοτινάκτα·
ὄργιον ἄρρητον, τριφυές, κρύφιον Διός ἔρνος·
πρωτογόν᾽ ἠρικεπαῖε, θεῶν πάτερ ἠδέ καί υἱέ·
ὠμάδιε, σκηπτοῦχε, χοροιμανές, ἡγέτα κώμων·

(52) LII. ΤΡΙΕΤΗΡΙΚΟΥ θυμίαμα, ἀρώματα

Ἐσέ ἐπικαλοῦμαι, μακάριε, ἔνδοξε, μανιακέ Βακχέα, πού ἔχεις κέρατα ταύρου καί προστατεύεις τά πατητήρια τῶν σταφυλιῶν, πού σπέρνεις τό πῦρ, ἐσέ τόν Νύσιον, τόν λυτρωτήν, πού εἶσαι θρέμμα τοῦ μηροῦ, λικνίτη, πού φυσᾶς πῦρ, καί εἶσαι ἀρχηγός (ἱδρυτής) τῶν τελετῶν (τῶν μυστηριακῶν)· νυκτερινέ, Εὐβουλέα, πού φορεῖς μίτραν καί τινάσσεις τόν θύρσον·
σύ εἶσαι μυστήριον ἀπερίγραπτον, μέ τρεῖς φύσεις, κρυφό βλαστάρι τοῦ Διός·
εἶσαι πρωτότοκος, ἠρικεπαῖος, πατέρας καί υἱός τῶν θεῶν·
τρώγεις ὠμά κρέατα, κρατεῖς σκῆπτρον, ἀγαπᾶς μέ μανίαν τούς χορούς, εἶσαι ἀρχηγός κωμαστικῶν ὁμίλων·

βακχεύων ἁγίας τριετηρίδας ἀμφί γαληνάς·
ρηξίχθων, πυριφεγγές, ἐφάπτορ, κοῦρε διμήτωρ,
οὐρεσίφοιτα, κερώς, νεβριδοστόλος, ἀμφιέτηρε,
Παιάν θυρσεγχής, ὑποκόλπιε, βοτρυόκοσμε,
Βάσσαρε, κισσοχαρής, πολυπάρθενε, καί διάκοσμε,
ἐλθέ, μάκαρ, μύστῃσι βρύων κεχαρημένος
αἰεί.

(53) LIII. ΑΜΦΙΕΤΟΥΣ θυμίαμα, πάντα πλήν λιβάνου.

Ἀμφιετῆ καλέω Βάκχον, χθόνιον Διόνυσον,
ἐγρόμενον κούραις ἅμα νύμφαις εὐπλοκάμοισιν·
ὅς παρά Περσεφόνης ἱεροῖσι δόμοισιν ἰαύων
κοιμίζει τριετῆρα χρόνον Βακχήϊον ἀγνόν.
αὐτός δ' ἡνίκα τόν τριετῆ πάλιν κῶμον ἐγείρῃ,
εἰς ὕμνον τρέπεται σύν εὐζώνοισι τιθήναις,
εὐάζων κινῶν τε χορούς ἐνί κυκλάσιν ὥραις.
ἀλλά, μάκαρ, χλοόκαρπε, κερασφόρε, κάρπιμε Βάκχε,
βαῖν' ἐπί πάνθεον τελετήν γανόωντι προσώπῳ,
εὐϊέροις καρποῖσι τελεσσιγόνοισι βρυάζων.

(54) LIV. ΣΙΛΗΝΟΥ, σατύρου, Βακχῶν θυμίαμα, μάνναν.

Κλῦθί μευ, ὦ πολύσεμνε τροφεῦ, Βάκχοιο τιθηνέ,
Σιληνῶν ὄχ' ἄριστε, τετιμένε πᾶσι θεοῖσιν
καί θνητοῖσι βροτοῖσιν ἐπί τριετηρίσιν ὥραις,
ἀγνοτελής, γεραρός, θιάσου νομίου τελετάρχα·

ἑορτάζεις κατά τίς ἥσυχες ἁγιες τριετηρίδες·
διαρρηγνύεις τήν γῆν, φέγγεις ὅπως ἡ φωτιά,
θωπεύεις, ὦ νέε πού ἔχεις δύο μητέρες·
περιπλανᾶσαι στά βουνά, φέρεις κέρατα καί φορεῖς δέρμα ἀπό ἐλαφάκι, εἶσαι ὁ ἐτήσιος (ὁ χρονιάρης),
ὁ Παιάν πού ἔχεις γιά δόρυ τόν θύρσο, κρυμμένος στήν κοιλιά τῆς μητέρας, στολίζεσαι μέ σταφύλια,
εἶσαι ὁ Βάσσαρος, πού χαίρεσαι μέ τόν κισσό καί μέ πολλές παρθένες καί εἶσαι διακοσμητής
ἔλα, ὦ μακάριε, στούς μύστες πάντοτε χαρούμενος καί γεμάτος ἀπό καρπούς.

(53) LIII. ΑΜΦΙΕΤΟΥΣ θυμίαμα, πάντα πλήν λιβάνου

Τόν Βάκχον προσκαλῶ τόν ἐτήσιον (τόν μονοετῆ), τόν γῆϊνον Διόνυσον, πού ἀγρυπνεῖ μαζί μέ τίς παρθένες νύμφες, πού ἔχουν ὡραίους πλοκάμους (μαλλιά)·
πού διανυκτερεύει πλησίον στά ἱερά δώματα τῆς Περσεφόνης καί ἀποκοιμίζει τόν τριετῆ ἀγνόν Βακχικόν χρόνον.
Ὁ ἴδιος πάλιν ὅταν σηκώνῃ τήν τριετῆ (πού γίνεται κάθε τρία ἔτη) ἑορταστικήν πανήγυριν, στρέφεται σέ ὕμνους μαζί μέ τίς καλλίζωνες συντρόφισσές του, πού διασκεδάζει καί κάνει χορούς σέ ὧρες κυκλικές (πού ἐπανέρχονται τακτικά).
Ἀλλά, ὦ μακάριε, πού παράγεις χλωρούς καρπούς καί φέρεις (φορεῖς) κέρατα, ὦ καρποφόρε Βάκχε,
ἔλα εἰς τήν κοινήν ὅλων τῶν θεῶν τελετήν μέ ἀστραφτερό πρόσωπο ὑπερηφανευόμενος γιά τούς ἱερούς καρπούς, πού εἶναι τελείως ὡριμασμένοι.

(54) LIV. ΣΙΛΗΝΟΥ σατύρου, ΒΑΚΧΩΝ θυμίαμα, μάνναν

Ἄκουσέ με, ὦ πολυσέβαστε τροφέα, πού φροντίζεις τόν Βάκχο, σύ πού εἶσαι ὁ ὑπεροχώτερος ἀπό τούς Σιληνούς, τιμημένος μεταξύ ὅλων τῶν θεῶν
καί τῶν θνητῶν ἀνθρώπων κατά τίς τριετεῖς τελετές,
πού λατρεύεσαι μέ ἁγνές τελετές, σύ ὁ σεβαστός, ὁ ἀρχηγός τοῦ ποιμενικοῦ θιάσου·

εὐαστής, φιλάγρυπνε σύν εὐζώνοισι τιθήναις,
Ναΐσι καί Βάκχαις ἡγούμενε κισσοφόροισιν·
δεῦρ᾽ ἐπί πάνθεον τελετήν Σατύροις ἅμα πᾶσιν
θηροτύποις, εὔασμα διδούς Βάκχοιο ἄνακτος,
σύν Βάκχαις ληναῖα τελεσφόρα σεμνά προτέμπων,
ὄργια νυκτιφαῆ τελεταῖς ἁγίαις ἀναφαίνων,
εὐάζων, φιλόθυρσε, γαληνιόων θιάσοισιν.

εἶσαι μανιώδης διασκεδαστής, σοῦ ἀρέσει νά ἀγρυπνῇς μαζί μέ τίς καλλίζωνες τροφούς,
καί ὁδηγεῖς τίς Ναϊάδες καί τίς Βάκχες, πού εἶναι τυλιγμένες μέ κισσό· ἔλα ἐδῶ εἰς τήν κοινήν δι᾽ ὅλους τούς θεούς τελετουργίαν μαζί μέ ὅλους τούς Σατύρους,
πού ἔχουν μορφήν θηρίου, καί δόσε κραυγήν τοῦ ἄνακτος Βάκχου, συνοδεύων μαζί μέ τίς Βάκχες τίς σεμνές ἑορτές τοῦ ληνοῦ (ὁ χῶρος ποῦ πατιῶνται τά σταφύλια), πού φέρουν καρπούς,
φανερώνων εἰς τάς ἁγίας τελετάς μυστήρια, ποῦ λάμπουν τήν νύκτα, διασκεδάζων, ὦ φίλε τοῦ θύρσου, μέ τούς θιάσους ἐν γαλήνῃ.

Τό περιεχόμενον τῶν Ὕμνων LII (52) «Τριετηρικοῦ» LIII (53) «Ἀμφιετοῦς» καί «Σιληνοῦ-Βάκχου» (ὕμνος LIV, 54) ἀποδεικνύει ἐμφανῶς ὅτι ἀναφέρονται εἰς τόν Διόνυσον, καί εἰς τάς τελετάς πού ἐλάμβανον χώραν, κατά διαφόρους περιόδους, πρός τιμήν του καί εἰς τήν ἐν γένει σχέσιν του μέ τούς θεούς καί τούς ἀνθρώπους. Ἀλλά κυρίως ἀποδεικνύεται, ὅτι τά ξενικά ὀνόματα, μέ τά ὁποῖα προσκαλεῖται ὁ Διόνυσος εἰς τούς Ὕμνους, οὐδόλως μεταβάλλουν τήν ἔννοιαν τοῦ περιεχομένου τοῦ Ὕμνου, ἡ ὁποία παραμένει σύμφωνος ἀπολύτως μέ τάς ἐννοίας ἄλλων χωρίων τῶν Ὕμνων, πού προδίδουν τήν παναρχαίαν προέλευσιν ἀπό τόν Ἑλληνικόν χῶρον ὅλων αὐτῶν τῶν δοξασιῶν περί Διονύσου. Συνεπῶς ματαίως προσεπάθησαν ὡρισμένοι ξένοι συγγραφεῖς καί δῆθεν ἐρευνηταί νά στηρίξουν τούς ἰσχυρισμούς των ἐπί τῆς ἀνυπάρκτου ἐπιδράσεως τῶν παραδόσεων παλαιοτέρων Λαῶν τῆς Ἀνατολῆς, εἰς τάς πνευματικάς ἐκδηλώσεις τῶν Ἀρχαιοελλήνων, τῶν ὁποίων ἡ προϊστορική, ἡ παναρχαία ὑπόστασις καί ἐγκατάστασις καί δρᾶσις εἰς τόν Ἑλληνικόν χῶρον, ὅπου ὑπῆρξαν καί ὑπάρχουν μέχρι σήμερον (1984), δέν ἀποδεικνύεται μόνον ἀπό τά χωρία τῶν Ὀρφικῶν ὅτι ὁ Ὀρφεύς ἔζωσε σέ σπήλαιον (Ἀργοναυτικά στίχος 75 καί στίχος 1375) ἀλλά καί ἀπό τόν στίχον 5 τοῦ XXX Ὕμνου τοῦ Διονύσου καί ἀπό τόν στίχον 7 τοῦ LII (52) Ὕμνου τοῦ Τριετηρικοῦ, ὅπου χαρακτηρίζει τόν Διόνυσον καί «ὠμάδιον» (ὠμοφάγον) ὡς τρώγονται καί ὠμά κρέατα, συνήθεια πού ὑπῆρχεν ὅταν ὁ ἄνθρωπος δέν ἐγνώριζε τήν φωτιά καί ἐγκατελείφθη ἀπό αὐτόν, εἰς χρονολογικήν ἐποχήν, ἀπροσδιόριστον ἤ μᾶλλον ἀπό τήν ἐποχήν πού ὁ ἄνθρωπος εἶχεν ἀρχίσει νά ἐκπολιτίζεται.

Καί εἶναι πλήρως σήμερον (1984) ἀποδεδειγμένον, ὅτι τό προνόμιον αὐτό εἶναι κτῆμα τῆς Ἑλληνικῆς φυλῆς, τοῦ Ἑλληνικοῦ Ἔθνους, τό ὁποῖον δικαίως διεκδικεῖ ὑπέρ αὐτοῦ, ὅπως ἀποδεικνύουν καί τά κείμενα αὐτά τῶν Ὀρφικῶν, τήν ὑψίστην τιμήν, ἀλλά καί τήν πολύμοχθον προσπάθειαν, τοῦ ἐκπολιτισμοῦ τῆς ἀνθρωπότητος.

Ι.Δ.Π.

(55) LV. Εἰς ΑΦΡΟΔΙΤΗΝ ὕμνος.

Οὐρανίη, πολύυμνε, φιλομειδὴς Ἀφροδίτη,
παντογενής, γενέτειρα θεά, φιλοπάννυχε, σεμνή,
νυκτερίη, ζεύκτειρα, δολοπλόκε, μῆτερ ἀνάγκης·
πάντα γάρ ἐκ σέθεν ἐστίν, ὑπεζεύξω δέ τε κόσμον
καί κρατέεις τρισσῶν μοιρῶν, γεννᾷς δέ τά πάντα

(55) LV. Εἰς ΑΦΡΟΔΙΤΗΝ ὕμνος

Ὦ ἐπουρανία Ἀφροδίτη, περίφημη, πού σκορπίζεις μειδιάματα, γεννημένη στή θάλασσα, θεά μητέρα, πού ἀγαπᾷς τίς ὁλονύκτιες διασκεδάσεις, σεβαστή,
νυκτερινή, πού συζευγνύεις (ἑνώνεις) τούς ἀνθρώπους εἰς γάμον, πού πλέκεις δόλους (δόλια σχέδια), ὦ μητέρα τῆς ἀνάγκης· διότι τά πάντα προέρχονται ἀπό σένα, πού μπλέχτηκες μέ τόν κόσμον καί κυριαρχεῖς σέ τρία μερίδια· καί γεννᾷς τά πάντα, ὅσα εὑρίσκονται εἰς τόν

ὅσσα τ᾽ ἐν οὐρανῷ ἐστι καί ἐν γαίῃ πολυκάρπῳ
ἐν πόντου τε βυθῷ, σεμνή Βάκχοιο πάρεδρε,
τερπομένη θαλίῃσι, γαμοστόλε, μῆτερ ἐρώτων·
πειθοῖ λεκτροχαρής, κρυφίη, χαριδῶτι ἄνασσα,
φαινομένη τ᾽, ἀφανής τ᾽, ἐρατοπλόκαμ᾽ εὐπατέρεια,
νυμφιδίη, σύνδαιτε, θεῶν σκηπτοῦχε, λύκαινα·
γεννοδότειρα, φίλανδρε, ποθεινατότῳ βιοδῶτι·
ἐνζεύξασα βροτούς ἀχαλινώτοισιν ἀνάγκαις,
καί θηρῶν πολύ φῦλον, ἐρωμανέων ὑπό φίλτρων
ἔρχεο, Κυπρογενές θεῖον γένος, εἴτ᾽ ἐν Ὀλύμπῳ
ἐσσί, θεά βασίλεια, καλῷ γήθουσα προσώπῳ,
εἴτε καί εὐλιβάνου Συρίης ἔδος ἀμφιπολεύεις,
εἴτε σύ γ᾽ ἐν πεδίοισιν σύν ἅρμασι χρυσεοτεύκτοις
Αἰγύπτου κατέχεις ἱερῆς γονιμώδεα λουτρά,
ἤ καί κυανέοισιν ὄχοις ἐπί πόντιον οἶδμα
ἐρχομένη χαίρεις νεπόδων κυκλίῃσι χορείαις·
ἤ νύμφαις τέρπῃ κυανώπισιν ἐν χθονί Δίᾳ,
θυιάς ἐπ᾽ αἰγιαλοῖς ψαμμώδεσιν ἅλματι κούφῳ·
εἴτε ἐν Κύπρῳ, ἄνασσα, τροφῷ σέο· ἔνθα καλαί σε
παρθένοι ἀδμῆται νύμφαι τ᾽ ἀνά πάντ᾽ ἐνιαυτόν
ὑμνοῦσιν, σέ, μάκαιρα, καί ἄμβροτον ἀγνόν Ἄδωνιν.
ἐλθέ, μάκαιρα θεά, μάλ᾽ ἐπήρατον εἶδος ἔχουσα·
ψυχῇ γάρ σε καλῶ σεμνῇ ἁγίοισι λόγοισιν.

(56) LVI.ΑΔΩΝΙΔΟΣ θυμίαμα, ἀρώματα.

Κλῦθί μευ εὐχομένου, πολυώνυμε, δαῖμον ἄριστε,
οὐρανόν καί ὅσα στήν εὔφορη γῆ καί ὅσα στόν βυθό τῆς θαλάσσης, σεβαστή συμπαρακαθημένη τοῦ Βάκχου, πού τέρπεσαι στά συμπόσια καί παρασκευάζεις τούς γάμους, ὦ μητέρα τῶν ἐρώτων.
πού χαίρεσαι στά κρεββάτια μέ τήν πειθώ καί ἐνεργεῖς στά κρυφά, βασίλισσα πού δίδεις χαρά,
πού φαίνεσαι, ἀλλά καί δέν φαίνεσαι, πού ἔχεις μέ ἀξιέραστες πλεξῆδες τυλιγμένα τά μαλλιά σου καί κατάγεσαι ἀπό καλόν πατέρα, προστάτρια τῶν νυμφῶν, σύνδειπνε, σκηπτροφόρε τῶν θεῶν, λύκαινα·
σύ πού δίδεις ἀπογόνους, φίλη τῶν ἀνδρῶν, περιπόθητη, πού παρέχεις τήν ζωήν·
σύ πού ἔμπλεξες τούς ἀνθρώπους καί τό μεγάλο πλῆθος τῶν ζώων μέ ἀχαλίνωτες ἀνάγκες ἀπό ἐρωτομανῆ φίλτρα, ἔλα, ὦ θεϊκέ γόνε, πού ἐγεννήθης στήν Κύπρο, ὦ θεά βασίλισσα, ἔλα χαρούμενη μέ ὡραῖον πρόσωπον,
εἴτε εὑρίσκεσαι στόν Ὄλυμπον εἴτε ὑπηρετεῖς εἰς τόν ναόν τῆς Συρίας, πού παράγει πολύ λιβάνι,
εἴτε σύ εἰς τάς πεδιάδας μέ ἅρματα κατασκευασμένα ἀπό χρυσό κατέχεις τά γόνιμα λουτρά τῆς ἱερᾶς Αἰγύπτου,
ἤ καί ἐπάνω σέ κυανᾶ ὀχήματα διερχομένη τό θαλάσσιον κῦμα χαίρεσαι μέ τούς κυκλικούς χορούς τῶν ὑδροβίων ζώων·
ἤ τέρπεσαι μέ τίς μαυρομμάτες νύμφες εἰς τήν Δίαν, πηδῶσα μανιακά μέ ἐλαφρά πηδήματα στίς ἀμμώδεις ἀκρογιαλιές·
εἴτε, ὦ βασίλισσα, εὑρίσκεσαι εἰς τήν Κύπρον, τήν τροφόν σου, ὅπου ὡραῖες παρθένες ἀγαμες καί νύμφες σέ ὑμνοῦν καθ᾽ ὅλον τόν χρόνον, ὑμνοῦν ἐσέ, ὦ μακαρία, καί τόν ἀθάνατον ἀγνόν Ἄδωνιν· ἔλα, μακαρία θεά, καί νά ἔχῃς πολύ εὐχάριστον διάθεσιν· διότι ἐσένα προσκαλῶ μέ ἅγια λόγια σεμνῆς ψυχῆς. **(Εἶναι φανερόν ὅτι οἱ τελευταῖοι στίχοι πού ὁμιλοῦν εἰς τόν Ὕμνον τῆς Ἀφροδίτης περί Συρίας καί Αἰγύπτου ἔχουν παρεμβληθῆ (προστεθῆ) εἰς μεταγενεστέραν ἐποχήν, ὅταν ἡ λατρεία τῆς Ἀφροδίτης εἶχεν μεταδοθῆ ἀπό τόν χῶρον τοῦ Αἰγαίου καί εἰς τάς χώρας αὐτάς, αἱ ὁποῖαι, ὅταν ἐγράφησαν οἱ Ὕμνοι – πρό τοῦ 2.000 π.Χ. –, εἶχον κυριολεκτικῶς μεσάνυχτα ἀπό τάς μυστηριακάς τελετάς πού ἀναφέρονται εἰς τούς Ὕμνους).**

(56) LVI. ΑΔΩΝΙΔΟΣ θυμίαμα, ἀρώματα

Ἄκουσε τήν προσευχή μου, ὦ ἔνδοξε, ἄρι-

ἁβροκόμη, φιλέρημε, βρύων ὥρῃσι ποθειναῖς,
Εὐβουλεῦ, πολύμορφε, τροφεῦ πάντων ἀρίδηλε.
κούρη, καί κόρε· πᾶσι καλόν θάλος αἰέν Ἄδωνι,
σβεννύμενος λάμπων τε καλαῖς ἐν κυκλάσιν ὥραις·
αὐξιθαλής, δίκερως, πολυήρατε, δακρυότιμε,
ἁγλαόμορφε, κυνηγεσίαις χαίρων, βαθυχαῖτα·
ἱμερόνους, Κύπριδος γλυκερόν θάλος, ἔρνος ἔρωτος
Φερσεφόνης ἐρασιπλοκάμου λέκτροισι λοχευθείς·
ὅς ποτε μέν ναίεις ὑπό Τάρταρον ἠερόεντα,
ἠδέ πάλιν πρός Ὄλυμπον ἄγεις δέμας ὡριόκαρπον·
ἐλθέ, μάκαρ, μύστῃσι φέρων καρπούς ἀπό γαίης.

στε θεέ, μέ τήν κομψήν κόμην, φίλε τῆς ἐρημίας (τῆς μοναξιᾶς), πού εἶσαι γεμάτος ἀπό περιπόθητους καρπούς,
ὦ Εὐβουλέα μέ τίς πολλές μορφές, φανερέ ἀνατροφέα τῶν πάντων, πού εἶσαι κόρη καί παιδί (θηλυκός καί ἀρσενικός)· ὦ Ἄδωνι, εἰς ὅλα εἶσαι πάντοτε τό ὡραῖον βλαστάρι,
σβήνεις καί λάμπεις σέ ὡραῖες κυκλικές ἐποχές· βοηθεῖς εἰς τήν αὔξησιν τῶν καρπῶν, ἔχεις δύο κέρατα, εἶσαι πολυέραστος (πολύ ἀγαπητός), σέ τιμοῦν μέ δάκρυα, ἔχεις μορφήν πού λάμπει, χαίρεσαι τό κυνήγι, ἔχεις πυκνά καί μακρά μαλλιά (κόμην)·
ἔχεις ἀξιέραστη ψυχή, εἶσαι το γλυκύ τέκνον τῆς Κύπριδος, βλαστάρι τοῦ ἔρωτος·
καί γεννήθηκες στά κρεββάτια τῆς Περσεφόνης μέ τά ὁμορφα μαλλιά·
σύ ἄλλοτε μέν κατοικεῖς κάτω ἀπό τόν σκοτεινόν Τάρταρον καί ἄλλοτε ἀντιθέτως ὁδηγεῖς (φέρεις) τό σῶμά σου, ὅταν ὡριμάσῃ στόν καιρό του, πρός τόν Ὄλυμπον·
ἔλα, ὦ μακάριε, καί φέρε εἰς τούς μύστας καρπούς ἀπό τήν γῆν.

(57) LVII. ΕΡΜΟΥ χθονίου θυμίαμα, στύρακα.

Κωκυτοῦ ναίων ἀνυπόστροφον οἶμον ἀνάγκης,
ὅς ψυχάς θνητῶν κατάγεις ὑπό νέρτερα γαίης,
Ἑρμῆ, Βακχεχόροιο Διονύσοιο γένεθλον,
καί Παφίης κούρης, ἑλικοβλεφάρου Ἀφροδίτης,
ὅς παρά Περσεφόνης ἱερόν δόμον ἀμφιπολεύεις,
αἰνομόροις ψυχαῖς πομπός κατά γαῖαν ὑπάρχων·
ἅς κατάγεις, ὁπόταν μοίρης χρόνος εἰσαφίκηται,
εὐϊέρῳ ῥάβδῳ θέλγων ὑπνοδώτιδι πάντα,
καί πάλιν ὑπνώοντας ἐγείρεις. σοί γάρ ἔδωκεν
τιμήν Φερσεφόνεια θεά, κατά Τάρταρον, εὐρύν
ψυχαῖς ἀενάοις θνητῶν ὁδόν ἡγεμονεύειν.
ἀλλά, μάκαρ, πέμποις μύσταις τέλος ἐσθλόν ἔπ' ἔργοις.

(57) LVII. ΕΡΜΟΥ ΧΘΟΝΙΟΥ θυμίαμα, στύρακα - ἡδύοσμον

Ὦ σύ πού κατοικεῖς εἰς τοῦ Κωκυτοῦ τόν δρόμον τῆς ἀνάγκης, πού δέν ἔχει ἐπιστροφή (τόν ἀγύριστο δρόμο), πού ὁδηγεῖς τάς ψυχάς τῶν ἀνθρώπων εἰς τόν κάτω κόσμον, ὦ Ἑρμῆ, τέκνον τοῦ Διονύσου, πού σύρει τόν βακχικόν χορόν, καί τῆς κόρης ἀπό τήν Πάφον, τῆς Ἀφροδίτης, μέ τά καμπυλωτά βλέφαρα.
Σύ ὑπηρετεῖς εἰς τήν ἱεράν κατοικίαν τῆς Περσεφόνης, καί εἶσαι ὁδηγός στίς δυστυχισμένες ψυχές ποῦ πᾶνε εἰς τόν Ἅδην· αὐτές τίς ψυχές, ὅταν φθάσῃ ὁ μοιραῖος χρόνος, καθοδηγεῖς πρός τόν κάτω κόσμον,
ἐσύ πού μαγεύεις τά πάντα μέ τό ἱερό ραβδί, πού ὑπνωτίζει, καί πάλιν τούς σηκώνεις ἀπό τόν ὕπνον· διότι σέ σένα παρεχώρησεν ἡ θεά Περσεφόνη τήν τιμήν νά εἶσαι ὁδηγός στίς ψυχές τῶν ἀνθρώπων κατά τήν ἀδιάκοπον, τήν αἰωνίαν πορείαν των πρός τόν εὐρύν Τάρταρον.
Ἀλλά, μακάριε, εἴθε νά στέλλῃς εἰς τούς μύστας καλόν τέλος διά τά ἔργα των.

(58) LVIII. ΕΡΩΤΟΣ θυμίαμα, ἀρώματα.

Κικλήσκω μέγαν ἀγνόν ἐράσμιον ἡδύν Ἔρωτα,
τοξαλκῆ, πτερόεντα, πυρίδρομον, εὔδρομον ὁρμῇ,
συμπαίζοντα θεοῖς ἠδέ θνητοῖς ἀνθρώποις·
εὐπάλαμον, διφυῆ, πάντων κληῖδας, ἔχοντα,
αἰθέρος οὐρανίου, πόντου, χθονός, ἠδ' ὅσα θνητοῖς
πνεύματα παντογένεθλα θεά βόσκει χλοόκαρπος,
ἠδ' ὅσα Τάρταρος εὐρύς ἔχει, πόντος θ' ἁλίδουπος.
μοῦνος γάρ τούτων πάντων οἴηκα κρατύνεις.
ἀλλά, μάκαρ, καθαραῖς γνώμαις μύστῃσι συνέρχου,
φαύλους δ' ἐκτοπίους θ' ὁρμάς ἀπό τῶνδ' ἀπόπεμπε.

(58) LVIII. ΕΡΩΤΟΣ θυμίαμα, ἀρώματα

Ἐπικαλοῦμαι τόν μεγάλον, τόν ἀγνόν, τόν περιπόθητον, τόν γλυκύν Ἔρωτα,
τόν ἰσχυρόν τοξότην, τόν πτερωτόν, πού φλογίζει μέ δύναμιν τούς ἀνθρώπους, τόν ταχύν καί ὁρμητικόν, πού παίζει μαζί μέ τούς θεούς καί μέ τούς θνητούς ἀνθρώπους·
τόν ἐξυπνον, τόν ἐφευρετικόν, μέ τάς δύο φύσεις, πού κρατεῖ τά κλειδιά τῶν πάντων,
τά κλειδιά τοῦ ἐπουρανίου αἰθέρος, τῆς θαλάσσης καί τῆς γῆς,
καί ὅσα πνεύματα, πού γεννοῦν τά πάντα εἰς τούς ἀνθρώπους,
τρέφει ἡ θεά, παράγουσα χλωρούς καρπούς,
καί ὅσα ἔχει ὁ εὐρύς Τάρταρος καί ἡ θορυβώδης θάλασσα·
διότι μόνον ἐσύ κρατεῖς τό πηδάλιον (εἶσαι κυρίαρχος) ὅλων αὐτῶν.
Ἀλλά, ὦ μακάριε, μέ καθαρές διαθέσεις ἔλα μαζί μέ τούς μύστας,
καί ἀπομάκρυνε ἀπό αὐτούς τίς φαύλες καί παράδοξες ὁρμές.

(59) LIX. ΜΟΙΡΩΝ θυμίαμα, ἀρώματα.

Μοῖραι ἀπειρέσιοι, Νυκτός φίλα τέκνα μελαίνης,
κλῦτέ μου εὐχομένου, πολυώνυμοι, αἴτ' ἐπί λίμνης
οὐρανίας, (ἵνα λευκόν ὕδωρ νυχίας ὑπό θερμῆς
ῥήγνυται ἐν σκιερῷ λιπαροῦ μυχῷ εὐλίθου ἄντρου)
ναίουσαι, πεπότησθε βροτῶν ἐπ' ἀπείρονα γαῖαν·
ἔνθεν ἐπί βρότεον δοῦλον γένος ἐλπίδι κούφῃ
στείχετε, πορφυρέῃσι καλυψάμεναι ὀθόνῃσι,
μοιρσίμῳ ἐν πεδίῳ, ὅθι πάγγεον ἅρμα διώκει
δόξα, δίκης παρά τέρμα καί ἐλπίδος ἠδέ μεριμνῶν,
καί νόμον ὠγύγιον παναπείρονος εὐνόμου ἀρχῆς.
Μοῖρα γάρ ἐν βιότῳ καθορᾷ μόνον, οὐδέ τις ἄλλος
ἀθανάτων, οἵ ἔχυσι κάρη νιφόεντος Ὀλύμπου,

(59) LIX. ΜΟΙΡΩΝ θυμίαμα, ἀρώματα

Ὦ Μοῖραι ἀναρίθμητοι, ἀγαπητά τέκνα τῆς μαύρης Νυκτός,
ἀκούσατε τήν προσευχήν μου σεῖς μέ τά πολλά ὀνόματα, πού κατοικεῖτε ἐπάνω σέ λίμνη ἐπουράνια,
ὅπου λευκό νερό στάζει ἀπό νυκτερινή ζέστη στόν σκιερό μυχό ὡραίου φκιασμένου μέ καλά λιθάρια σπηλαίου, καί πετᾶτε εἰς τήν ἀπέραντη γῆ τῶν ἀνθρώπων,
ἀπό ὅπου βαδίζετε πρός τό ἀνθρώπινο δουλικό γένος
μέ ἀνεκπλήρωτη, κενή ἐλπίδα, ἀφοῦ σκεπασθῆτε μέ πορφυρᾶ λεπτά ἐνδύματα,
εἰς τήν μοιραίαν πεδιάδα, ὅπου τό ἅρμα, πού κρατεῖ ὅλην τήν γῆν,
τό καταδιώκει ἡ δόξα, πλησίον εἰς τό τέρμα τῆς δίκης (τῆς δικαιοσύνης) καί τῆς ἐλπίδος καί τῶν φροντίδων,
καί εἰς τόν πανάρχαιον νόμον τῆς ἀπεράντου ἀρχῆς,
πού κυβερνᾶται μέ καλούς νόμους.
Διότι μόνον ἡ Μοῖρα βλέπει τά συμβαίνοντα εἰς τόν βίον τῶν ἀνθρώπων,
οὔτε κανείς ἄλλος ἀπό τούς ἀθανάτους, πού κατέχουν τάς κορυφάς τοῦ χιονοσκεποῦς Ὀλύμπου, (βλέπει τά συμβαίνοντα εἰς τούς

καί Διός ὄμμα τέλειον· ἐπεί γ' ὅσα γίγνεται ἡμῖν,
Μοῖρά τε καί Διός οἶδε νόος διαπαντός ἅπαντα.
ἀλλά μοι, ἀέριοι, μαλακόφρονες, ἡπιόθυμοι,
Ἄτροπε, καί Λάχεσι, Κλωθώ, μόλετ' εὐπατέρειαι
νυκτέριοι, ἀφανεῖς, ἀμετάτροποι, αἰέν ἀτειρεῖς,
παντοδότειραι, ἀφαιρέτιδες θνητοῖσιν ἀνάγκης,
Μοῖραι, ἀκούσατ' ἐμῶν ὁσίων λοιβῶν τε καί εὐχῶν,
ἐρχόμεναι μύσταις λαθιπήμονες εὔφρονι βουλῇ.

ἀνθρώπους), καί τό τέλειον μάτι τοῦ Διός· ἐπειδή ὅσα συμβαίνουν εἰς ἡμᾶς (τούς ἀνθρώπους)
τά γνωρίζει ἐξ ὁλοκλήρου ὅλα ἡ Μοῖρα καί ὁ νοῦς τοῦ Διός. Ἀλλά ἐλᾶτε δι' ἐμέ, σεῖς αἱ ἀερινές, αἱ εὐμενεῖς μέ τήν ἡπίαν διάθεσιν, σεῖς ἡ Ἄτροπος, ἡ Λάχεσις καί ἡ Κλωθώ, πού ἔχετε καλόν πατέρα, αἱ νυκτερινές, αἱ ἀφανεῖς, αἱ ἀμετάπειστες, αἱ πάντοτε σκληρές, πού δίδετε τά πάντα καί ἀφαιρεῖτε τήν ἀνάγκην ἀπό τούς θνητούς·
ὦ Μοῖραι, ἀκούσατε τάς ἰδικάς μου ἱεράς προσφοράς καί τάς προσευχάς,
καί ἐλᾶτε εἰς τούς μύστας μέ χαρμόσυνη διάθεσι καί ἀποδιώξατε τήν λύπην.

(60) LX. ΧΑΡΙΤΩΝ θυμίαμα, στύρακα.

Κλῦτέ μοι,ὦ Χάριτες μεγαλώνυμοι, ἀγλαότιμοι,
θυγατέρες Ζηνός τε καί Εὐρυνόμης βαθυκόλπου,
Ἀγλαΐη, Θαλίη τε, καί Εὐφροσύνη πολύολβε,
χαρμοσύνης γενέτειραι, ἐράσμιαι, εὔφρονες, ἀγναί,
αἰολόμορφοι, ἀειθαλέες, θνητοῖσι ποθειναί,
οὔτε γάρ ἠελίου ταχιναί φλόγες, οὔτε σελήνης,
καί σοφίης, ἀρετῆς τε, καί ἐργασίμου θρασύτητος
αὔχημ' οὔτε βίου λιπαρῆς περικαλλέος ἥβης
ὑμέων χωρίς ἐγείρει εὐφροσύνας βιότοιο.
εὐκταῖαι, κυκλάδες, καλυκώπιδες, ἱμερόεσσαι·
ἔλθοιτ' ὀλβοδότειραι, ἀεί μύστῃσι προσηνεῖς.

(60) LX. ΧΑΡΙΤΩΝ θυμίαμα, στύρακα - ἡδύοσμον

Ἀκούσατέ με, ὦ Χάριτες ἔνδοξοι, πού τιμᾶσθε μέ λαμπρότητα, θυγατέρες τοῦ Διός καί θυγατέρες τοῦ Διός καί τῆς Εὐρυνόμης μέ τά βαθειά στήθη, ἐσεῖς
ἡ Ἀγλαΐα, ἡ Θάλεια καί ἡ πολυευτυχισμένη Εὐφροσύνη,
πού γεννᾶτε τήν χαρά, εἶσθε ἀξιέραστες, εὐχάριστες, ἁγνές, ποικιλόμορφες, πάντοτε θαλερές (φρέσκιες), εἰς τούς ἀνθρώπους περιπόθητοι·
διότι οὔτε αἱ ταχεῖαι φλόγες τοῦ ἡλίου, οὔτε τῆς σελήνης τό φῶς, οὔτε καί τό καύχημα τῆς σοφίας, τῆς ἀρετῆς καί τῆς δραστηρίας τόλμης,
οὔτε τῆς λαμπρᾶς ὡραιοτάτης νεότητος τοῦ βίου ἡ περίοδος (ἡ ἐποχή)
διεγείρει χαρές ε ἰς τήν ζωήν μας χωρίς τήν ἰδικήν σας παρουσίαν.
Εἴθε νά μᾶς ἔλθετε πάντοτε προσηνεῖς πρός τούς μύστας,
ἐσεῖς πού εἶσθε ἄξιες εὐχῆς, αἱ τριγυρίζουσαι (τούς ἀνθρώπους), αἱ ἀνθηραί, αἱ περιπόθητοι, πού δίδετε τήν εὐτυχίαν.

(61) LXI. ΝΕΜΕΣΕΩΣ ὕμνος.

Ὦ Νέμεσι, κλήζω σε, θεά βασίλεια μεγίστη,
πανδερκής, ἐσορῶσα βίον θνητῶν πολυφύλων·
ἀϊδίη, πολύσεμνε, μόνη χαίρουσα δικαίοις,

(61) LXI. ΝΕΜΕΣΕΩΣ ὕμνος

Ὦ Νέμεσι, σέ ὑμνῶ, ἐσένα τήν θεά τήν μεγαλύτερη βασίλισσα,
πού βλέπεις τά πάντα καί παρατηρεῖς τόν βίον τῶν ἀνθρώπων,
πού ἀνήκουν εἰς πολλάς φυλάς·
αἰωνία, σεβαστή, πού μόνον ἐσύ χαίρεσαι στά

ἀλλάσσουσα λόγον πολυποίκιλον, ἄστατον αἰεί,
ἥν πάντες δεδίασι βροτοί ζυγόν αὐχένι θέντες.
σοί γάρ ἀεί γνώμη πάντων μέλει, οὐδέ σέ λήθει
ψυχή ὑπερφρονέουσα λόγων ἀδιακρίτῳ ὁρμῇ.
πάντ᾽ ἐσορᾷς καί πάντ᾽ ἐπακούεις, πάντα βραβεύεις
ἐν σοί δ᾽ εἰσί δίκαι θνητῶν, πανυπέρτατε δαῖμον.
ἐλθέ, μάκαιρ᾽ ἁγνή, μύσταις ἐπιτάρροθος αἰεί·
δός δ᾽ ἀγαθήν διάνοιαν ἔχειν, παύουσα πανεχθεῖς
γνώμας, οὐχ ὁσίας, πανυπέρφρονας, ἀλλοπροσάλλας.

δίκαια, καί τιμωρεῖς τόν πολυποίκιλον λόγον, τόν πάντοτε ἀσταθῆ· ἐσένα φοβοῦνται ὅλοι οἱ ἐσένα φοβοῦνται ὅλοι οἱ ἄνθρωποι πού ἔχουν ζυγόν στόν τράχηλο (πού ἔχουν βαρεῖαν συνείδησιν)·
διότι ἐσύ ἐνδιαφέρεσαι πάντοτε διά τήν γνώμην (τήν διάθεσιν) ὅλων, οὔτε σοῦ διαφεύγει τήν προσοχήν ἡ ψυχή, πού ὑπερηφανεύεται κατά τούς λόγους μέ ἀκατανόητον ὁρμήν.
Ἐσύ τά πάντα ἐποπτεύεις καί τά πάντα ἀκούεις καί τά πάντα κρίνεις· ἀπό σέ ἐξαρτῶνται αἱ ἀπό σέ ἐξαρτῶνται αἱ δίκαι τῶν ἀνθρώπων, ὦ ὑπερτάτη θεά.
Ἔλα, ὦ μακαρία, ἁγνή, βοηθός πάντοτε εἰς τούς μύστας· καί δόσε τους νά ἔχουν ἀγαθήν διάνοιαν, καί νά καταπαύσῃς τάς μισητάς γνώμας (σκέψεις), τάς ἀντιθέσεις, τάς ἀνοησίας, τάς ὑπεροπτικάς καί ἀλλοπροσάλλους (εὐμεταβόλους).

(62) LXII. ΔΙΚΗΣ θυμίαμα, λίβανον.

Ὄμμα Δίκης μέλπω πανδερκέος, ἀγλαομόρφου,
ἥ καί Ζηνός ἄνακτος ἐπί θρόνον ἱερόν ἵζει,
οὐρανόθεν καθορῶσα βίον θνητῶν πολυφύλων,
τοῖς ἀδίκοις τιμωρός ἐπιβρίθουσα δικαίη,
ἐξ ἰσότητος ἀληθείῃ συνάγουσ᾽ ἀνομοῖα.
πάντα γάρ, ὅσσα κακαῖς γνώμαις θνητοῖσιν ὀχεῖται,
δύσκριτα, βουλομένοις τό πλέον βουλαῖς ἀδίκοισιν.
μούνη ἐπεμβαίνουσα δίκῃ ἀδίκοις ἐπί ἔργοις,
ἐχθρή τῶν ἀδίκων, εὔφρων δέ σύνεσσι δικαίοις.
ἀλλά, θεά, μόλ᾽ ἔπι γνώμαις ἐσθλῇσι δικαίῃ,
ὡς ἄν ἀεί βιοτῆς τό πεπρωμένον ἦμαρ ἐπέλθῃ.

(62) LXII. ΔΙΚΗΣ θυμίαμα, λίβανον

Τόν ὀφθαλμόν ἐξυμνῶ τῆς Δίκης, πού βλέπει τά πάντα καί λάμπει ἀπό ὁμορφιά,
ἡ ὁποία ἀκόμη καί εἰς τόν ἱερόν θρόνον τοῦ βασιλέως Διός κάθεται καί παρατηρεῖ ἀπό τόν οὐρανόν τόν βίον (τόν τρόπον διαβιώσεως) τῶν ἀνθρώπων, πού ἀνήκουν εἰς πολλάς φυλάς·
καί ἐπιπίπτει ὡς δικαία τιμωρός κατά τῶν ἀδίκων, συνάπτουσα τά ἀνόμοια κατά τήν ἰσότητα διά τῆς ἀληθείας· **(συνεπῶς τό «ἔστιν δίκης ὀφθαλμός, ὃς τά πάνθ᾽ ὁρᾷ» εἶναι ὀρφικόν)**·
διότι ὅλα, ὅσα φέρονται εἰς τάς κακοβούλους σκέψεις τῶν ἀνθρώπων, εἶναι δυσδιάκριτα, ἐπειδή αὐτοί (οἱ ἄνθρωποι) ὡς ἄδικοι θέλουν τό ἐπί πλέον (εἶναι πλεονέκται) διά τῶν σκέψεών των.
Μόνον ἐσύ ἐπεμβαίνεις δικαίως εἰς ἄδικα ἔργα, καί εἶσαι ἐχθρά τῶν ἀδίκων ἀνθρώπων, ἔχεις ὅμως καλάς διαθέσεις πρός τούς δικαίους.
Ἀλλά, ὦ θεά, ἔλα ἐσύ ὡς δικαία καί δῶσε μας καλές σκέψεις, ἕως ὅτου ἐπέλθῃ ἡ ὑπό τῆς μοίρας προωρισμένη ἡμέρα τοῦ βίου (μέχρι νά ἀποθάνωμεν).

41

(63) LXIII. ΔΙΚΑΙΟΣΥΝΗΣ θυμίαμα, λίβανον.

Ὦ θνητοῖσι δικαιοτάτη, πολύολβε, ποθεινή,
ἐξ ἰσότητος ἀεί θνητοῖς χαίρουσα δικαίοις,

(63) LXIII. ΔΙΚΑΙΟΣΥΝΗΣ θυμίαμα, λίβανον

Ὦ σύ ἡ δικαιοτάτη μεταξύ τῶν θνητῶν, ἡ πολυευτυχισμένη, ἡ περιπόθητη,
πού χαίρεσαι πάντοτε μέ τούς ἀνθρώπους διά

πάντιμ᾽ ὀλβιόμοιρε, Δικαιοσύνη μεγαλαυχής,
ἥ καθαραῖς γνώμαις αἰεί τά δέοντα βραβεύεις,
ἄθραυστος τό συνειδός· ἀεί θραύεις γάρ ἅπαντας,
ὅσσοι μή τό σόν ἦλθον ὑπό ζυγόν, ἀλλοπρόσαλλοι,
πλάστιγξιν βριαρῇσι παρεγκλίναντες ἀπλήστως·
ἀστασίαστε, φίλη πάντων, φιλόκωμ᾽, ἐρατεινή,
εἰρήνῃ χαίρουσα, βίον ζηλοῦσα βέβαιον.
αἰεί γάρ τό πλέον στυγέεις, ἰσότητι δέ χαίρεις.
ἐν σοί γάρ σοφίη ἀρετῆς τέλος ἐσθλόν ἱκάνει.
κλῦθι, θεά, κακίην θνητῶν θραύουσα δικαίως,
ὡς ἄν ἰσορροπίῃσιν ἀεί βίος ἐσθλός ὁδεύοι
θνητῶν ἀνθρώπων, οἵ ἀρούρης καρπόν ἔδουσιν,
καί ζώων πάντων, ὁπόσ᾽ ἐν κόλποισι τιθηνεῖ
γαῖα θεά μήτηρ καί πόντιος εἰνάλιος Ζεύς.

τήν ἰσότητα, πολύτιμε, καλότυχη, σύ ἡ Δικαιοσύνη ἡ πολυένδοξη,
πού μέ καθαρές πάντοτε γνῶμες κρίνεις τά πρέποντα, καί ἔχεις ἀκεραίαν τήν συνείδησιν· διότι σύ πάντοτε τιμωρεῖς ὅλους,
ὅσοι δέν προσῆλθον κάτω ἀπό τόν ἰδικόν σου ζυγόν (τήν ζυγαριά σου), ἀλλά εἶναι ἄστατοι καί ἀλλά εἶναι ἄστατοι καί παρεκκλίνουν ἀκόρεστα στίς βαρειές πλάστιγγες·
σύ εἶσαι χωρίς ἐπαναστάσεις (ἥσυχη), φίλη τῶν πάντων, ἀγαπᾷς τάς διασκεδάσεις ἀξιέραστη, χαίρεσαι στήν εἰρήνη καί ποθεῖς τόν σταθερόν βίον.
Διότι πάντοτε μισεῖς τό ἐπί πλέον (τήν πλεονεξίαν) καί χαίρεσαι εἰς τήν ἰσότητα.
Διότι σέ σένα ἡ γνῶσις τῆς ἀρετῆς ἔχει ἄριστον τέλος.
Ἄκουσέ με, θεά, καί τσάκιζε δικαίως τήν κακίαν τῶν ἀνθρώπων, διά νά πορεύεται (νά προδιά νά πορεύεται (νά προχωρῇ) ἐν ἰσορροπίᾳ πάντοτε ὁ καλός βίος τῶν θνητῶν ἀνθρώπων,
οἱ ὁποῖοι τρώγουν τόν καρπόν τῆς γῆς, καί ὅλων τῶν ζώων
ὅσα τρέφει ε ἰς τούς κόλπους της ἡ γῆ, ἡ θεά μητέρα, καί ὁ πόντιος θαλάσσιος Ζεύς.

(64) LXIV. Ὕμνος NOMOY

Ἀθανάτων καλέω καί θνητῶν ἀγνόν ἄνακτα,
οὐράνιον Νόμον, ἀστροθέτην, σφραγῖδα δικαίην
πόντου τ᾽ εἰναλίου καί γῆς, φύσεως τό βέβαιον
ἀκλινές ἀστασίαστον ἀεί τηροῦντα νόμοισιν,
οἷσιν ἄνωθε φέρων μέγαν οὐρανόν αὐτός ὁδεύει,
καί φθόνον οὐ δίκαιον ροίζου τρόπον αὐτός ἐλαύνει·
ὅς καί θνητοῖσιν βιοτῆς τέλος ἐσθλόν ἐγείρει.
αὐτός γάρ μοῦνος ζώων οἴηκα κρατύνει,
γνώμαις ὀρθοτάτῃσι συνών, ἀδιάστροφος αἰεί,
ὠγύγιος, πολύπειρος, ἀβλάπτως πᾶσι συνοικῶν
τοῖς νομίμοις, ἀνόμοις δέ φέρων

(64) LXIV. Ὕμνος NOMOY

Τῶν ἀθανάτων θεῶν προσκαλῶ καί τῶν θνητῶν ἀνθρώπων τόν ἁγνόν ἄνακτα, τόν ἐπουράνιον Νόμον, αὐτόν πού κατατάσσει (θέτει εἰς τάξιν) τά ἄστρα, μέ δικαίαν σφραγῖδα καί
τοῦ θαλασσίου πόντου καί τῆς γῆς, αὐτόν πού φροντίζει πάντοτε νά εἶναι ἡ φύσις σταθερά, ἀσάλευτη, ἀδιατάρακτη διά εἰδικῶν, μερικωτέρων νόμων, διά τῶν ὁποίων κατευθύνει τά πάντα ἄνωθεν καί διατρέχει καί κυριαρχεῖ αὐτός, ὁ Ὑπέρτατος Νόμος τόν μέγαν οὐρανόν, καί τόν ἄδικον φθόνον ἀποδιώκει αὐτός ὡς ὁρμητική κίνησις·
αὐτός διεγείρει εἰς τούς ἀνθρώπους τό καλόν τέλος τοῦ βίου·
διότι μόνον αὐτός κατέχει τό πηδάλιον τῶν ζώων (κατευθύνει τήν ζωήν), ἐπειδή ἔχει ὀρθοτάτας γνώμας, εἶναι πάντοτε ἀμετακίνητος, πανάρχαιος, μέ μεγάλην πεῖραν, συγκατοικῶν ἀβλαβῶς μέ ὅλους τούς δικαίους, ἀλλά εἰς τούς παρανομοῦντας (τούς ἀδίκους) ἐπιφέρει βαρεῖαν ζημίαν, βλάβην.

κακότητα βαρεῖαν·
ἀλλά, μάκαρ, πάντιμε, φερόλβιε, πᾶσι ποθεινέ,
εὐμενές ἦτορ ἔχων μνήμην σέο πέμπε, φέριστε.

(65) LXV. ΑΡΕΟΣ θυμίαμα, λίβανον

Ἄρρηκτ', ὀβριμόθυμε, μεγασθενές, ἄλκιμε δαῖμον,
ὁπλοχαρής, ἀδάμαστε,. βροτοκτόνε, τειχεσιπλῆτα,
Ἄρες ἄναξ, ὁπλόδουπε, φόνοις πεπαλαγμένος αἰεί,
αἵματι τ' ἀνδροφόνῳ χαίρων, πολεμόκλονε, φρικτέ,
ὅς ποθέεις ξίφεσίν τε καί ἔγχεσι δῆριν ἄμουσον·
στῆσον ἔριν λυσσῶσαν, ἄνες πόνον ἀλγεσίθυμον·
εἰς δέ πόθον νεῦσον Κύπριδος, κώμους τε Λυαίου,
ἀλλάξας ἀλκήν ὅπλων εἰς ἔργα τά Δηοῦς,
εἰρήνην ποθέων κουροτρόφον, ὀλβιοδῶτιν.

(66) LXVI. ΗΦΑΙΣΤΟΥ θυμίαμα, λιβανομάνναν.

Ἥφαιστ' ὀβριμόθυμε, μεγασθενές, ἀκάματον πῦρ,
λαμπόμενε φλογέαις αὐγαῖς, φαεσίμβροτε δαῖμον,
φωσφόρε, καρτερόχειρ, αἰώνιε, τεχνοδίαιτε,
ἐργαστήρ, κόσμοιο μέρος, στοιχεῖον ἀμεμφές,
παμφάγε, πανδαμάτωρ, πανυπέρτατε, παντοδίαιτε,
αἰθήρ, ἥλιος, ἄστρα, σελήνη, φῶς ἀμίαντον·
ταῦτα γάρ Ἡφαίστοιο μέλη θνητοῖσι προφαίνει.
πάντα δέ οἶκον ἔχεις, πᾶσαν πόλιν, ἔθνεα πάντα·
Ἀλλά, ὦ μακάριε, πολύτιμε, σύ πού φέρεις τήν εὐτυχίαν, εἰς ὅλους περιπόθητε,
ἔχων εὐμενῆ καρδίαν μή μᾶς λησμονῆς, ὦ ἄριστε.

(Εὐρυτέραν ἑρμηνείαν τοῦ Ὕμνου τοῦ Νόμου βλέπε καί εἰς κείμενα Κ. Χασάπη (Κεφάλαιον Η' «Ὁ Παγκόσμιος Νόμος» καί «Γενικήν Εἰσαγωγήν» εἰς τά Ὀρφικά).

(65) LXV. ΑΡΕΩΣ θυμίαμα, λίβανον

Ἀκατάβλητε, ἰσχυρόκαρδε, μεγαλοδύναμε, ρωμαλέε θεέ,
πού χαίρεσαι στά ὅπλα, ἀνίκητε, πού σκοτώνεις τούς ἀνθρώπους καί πλήττεις (κτυπᾶς) τά τείχη,
ὦ ἄνακτα Ἄρη, πού κρατεῖς τά ὅπλα, πού εἶσαι πάντοτε μπερδεμένος (ἀναμεμειγμένος) μέ φόνους,
πού χαίρεσαι στό αἷμα τῶν ἀνδρῶν, πού φονεύονται, καί σηκώνεις τόν θόρυβον τοῦ πολέμου (τῆς μάχης), φρικτέ (πού προκαλεῖς φρίκην),
καί ποθεῖς τήν μάχην μέ ξίφη καί μέ δόρατα, τήν μάχην τήν ἀγρίαν·
σταμάτησε τήν λυσσασμένη μάχη, ἄφησε τόν πόνον πού προκαλεῖ θλῖψιν στήν καρδιά·
κλῖνε (στρέψε) πρός τόν πόθον τῆς Κύπριδος καί πρός τάς ἑορταστικάς πανηγύρεις τοῦ Λυσαίου, (τοῦ λυτρωτοῦ, τοῦ Διονύσου)
καί νά ἀνταλλάξῃς τήν ἰσχύν τῶν ὅπλων μέ τά ἔργα τῆς Δηοῦς, (τῆς Δήμητρος, τῆς γεωργίας)
καί νά ποθῇς τήν εἰρήνην, πού τρέφει τούς νέους καί μᾶς παρέχει τήν εὐτυχίαν. 43

(66) LXVI. ΗΦΑΙΣΤΟΥ θυμίαμα, λιβανομάνναν

Ἥφαιστε ἰσχυρόκαρδε, μεγαλοδύναμε, πού εἶσαι τό ἄσβεστον πῦρ,
καί φωτίζεσαι ἀπό φλογερές λάμψεις, ὦ θεέ πού παρέχεις τό φῶς εἰς τούς ἀνθρώπους,
ἐσύ πού φέρεις τό φῶς, μέ τά ἰσχυρά χέρια, αἰώνιε, πού ζῇς μέ τήν τέχνην,
σύ ὁ ἐργάτης, μέρος τοῦ κόσμου καί στοιχεῖον ἄμεμπτον,
πού τρώγεις τά πάντα, πού δαμάζεις τά πάντα (ὡς ἐκπρόσωπος τῆς φωτιᾶς), ὁ ὑπεράνω ὅλων ὑπέρτατος, πού εὑρίσκεσαι παντου.
Εἶσαι ὁ αἰθήρ, ὁ ἥλιος, τά ἄστρα, ἡ σελήνη, τό φῶς τό ἀμόλυντον· διότι αὐτά τά μέλη τοῦ Ἡφαίστου φέρουν τό φῶς εἰς τούς ἀνθρώπους.
Καί κατοικεῖς ἐσύ εἰς πάντα οἶκον, ὅλες τίς πόλεις, ὅλα τά ἔθνη·

σώματά τε θνητῶν οἰκεῖς, πολύολβε, κραταιέ·
κλῦθι μάκαρ, κλήζω σε πρός εὐϊέρους ἐπιλοιβάς,
αἰέν ὅπως χαίρουσιν ἐπ᾽ ἔργοις ἦμερος ἔλθῃς.
παῦσον λυσσῶσαν μανίην πυρός ἀκαμάτοιο,
καῦσιν ἔχων φύσεως ἐν σώμασιν ἡμετέροισιν.

(67) XVII. ΑΣΚΛΗΠΙΟΥ θυμίαμα, μάνναν.

᾽Ιητήρ πάντων ᾽Ασκληπιέ, δέσποτα Παιάν,
θέλγων ἀνθρώπων πολυαλγέα πήματα νούσων,
ἠπιόδωρε, κραταιέ, μόλοις κατάγων ὑγίειαν,
καί παύων νούσους χαλεπάς, θανάτοιό τε κῆρας.
αὐξιθαλής κόρε,* ἀπαλεξίκακ᾽, ὀλβιόμοιρε,
Φοίβου ᾽Απόλλωνος κρατερόν θάλος ἀγλαότιμον,
ἐχθρέ νόσων, ᾽Υγίειαν ἔχων σύλλεκτρον ἀμεμφῆ,
ἐλθέ μάκαρ, σωτήρ, βιοτῆς τέλος ἐσθλόν ὀπάζων.

(68) LXVIII. ΥΓΕΙΑΣ θυμίαμα, μάννα.

᾽Ιμερόεσσ᾽ ἐρατή, πολυθάλμιε, παμβασίλεια
κλῦθι, μάκαιρ ᾽Υγίεια, φερόλβιε, μῆτερ ἁπάντων.
ἐκ σέο γάρ νοῦσοι μέν ἀποφθινύθουσι βροτοῖσιν,
πᾶς δέ δόμος θάλλει πολυγηθής εἵνεκα σεῖο,
καί τέχναι βρίθουσι. ποθεῖ δέ σε κόσμος, ἄνασσα,
μοῦνος δέ στυγέει σ᾽ ᾽Αΐδης ψυχοφθόρος αἰεί·
ἀϊθαλής, εὐκταιοτάτη, θνητῶν ἀνάπαυμα.
σοῦ γάρ ἄτερ πάντ᾽ ἐστίν ἀνωφελῆ ἀνθρώποισιν.
οὔτε γάρ ὀλβοδότης Πλοῦτος γλυκερός θαλίῃσιν,
καί κατοικεῖς (ὡς πῦρ, ὡς φωτιά) μέσα εἰς τά σώματα τῶν ἀνθρώπων, ἐσύ μέ τήν μεγάλην εὐτυχίαν, ὁ ἰσχυρός.
Ἄκουσέ με, μακάριε, ἐσέ προσκαλῶ εἰς τάς ἱεράς σπονδάς, διά νά προσέλθῃς πάντοτε ἦμερος καί μέ ἔργα, πού φέρουν χαράν.
Κατάπαυσε τήν λυσσασμένην μανίαν τοῦ ἀκαταβλήτου πυρός
παρέχων εἰς τά ἰδικά μας σώματα τήν φυσικήν καῦσιν (ὄχι διεγέρσεις ἀφύσικες).

(67) LXVII. ΑΣΚΛΗΠΙΟΥ θυμίαμα, μάνναν

Ὦ σύ ᾽Ασκληπιέ, ἰατρέ τῶν πάντων, ὦ δέσποτα Παιάν,
πού μαγεύεις τά ἐκ τῶν νόσων παθήματα τῶν ἀνθρώπων, πού προξενοῦν μεγάλους πόνους,
σύ πού καταπραΰνεις μέ τά δῶρά σου, ὁ ἰσχυρός, εἴθε νά ἔλθῃς φέρων εἰς ἡμᾶς τήν ὑγείαν,
καί καταπαύων τίς βαρειές ἀσθένειες καί τόν ὀλέθριον θάνατον, σύ, ὦ νέε, πού συντελεῖς εἰς τήν αὔξησιν καί ἀπομακρύνεις τά κακά, ὁ καλότυχος,
σύ τό ἰσχυρό βλαστάρι, τό πολυτίμητο τοῦ Φοίβου ᾽Απόλλωνος, ὁ ἐχθρός τῶν νοσημάτων, πού ἔχεις ἄμεμπτον σύζυγον τήν ᾽Υγείαν·
ἔλα, μακάριε, σωτήρα μας, δίδων εἰς ἡμᾶς καλόν τέλος τοῦ βίου.

(68) LXVIII. ΥΓΕΙΑΣ θυμίαμα, μάνναν

Σύ ἡ περιπόθητη, ἡ ἀξιέραστη, που ζωογονεῖς τά πάντα, ἡ βασίλισσα τῶν πάντων, ἄκουσέ με, ὦ μακαρία ᾽Υγεία, πού φέρεις τήν εὐτυχίαν καί εἶσαι ἡ μητέρα ὅλων·
διότι ἀπό σένα ἀπό τό ἕνα μέρος καταστρέφονται αἱ ἀσθένειαι τῶν ἀνθρώπων,
καί ἀπό τό ἄλλο μέρος κάθε σπίτι πάλιν ἐξ αἰτίας σου (ὅταν ἔχῃ ὑγείαν) ἀνθοφορεῖ γεμάτο ἀπό χαρά,
καί αἱ τέχναι ἀκμάζουν. Καί σέ ποθεῖ ὁ κόσμος, ὦ βασίλισσα, καί μόνον ὁ Ἄδης σέ μισεῖ ὁ πάντοτε θανατηφόρος.
Εἶσαι πάντοτε θαλερά, σέ σένα περισσότερο ἀπό ὅλους ἀπευθύνομεν τίς εὐχές μας, εἶσαι ἡ ἀνακούφισις τῶν ἀνθρώπων·
διότι χωρίς ἐσένα ὅλα εἶναι ἀνωφελῆ εἰς τούς ἀνθρώπους·
διότι οὔτε ὁ Πλοῦτος, πού μᾶς δίδει τά ἀγαθά, εἶναι γλυκός κατά τά συμπόσια,

οὔτε γέρων πολύμοχθος ἄτερ σέο γίγνεται ἀνήρ·
πάντων γάρ κρατέεις μούνη, καί πᾶσιν ἀνάσσεις.
ἀλλά, θεά, μόλε μυστιπόλοις ἐπιτάρροθος αἰεί,
ρυομένη νούσων χαλεπῶν κακόποτμον ἀνίην.

οὔτε ὁ ἀνήρ γίνεται γέρων, πού ἐμόχθησε πολύ, χωρίς ἐσένα·
διότι μόνη ἐσύ κυριαρχεῖς τῶν πάντων, καί βασιλεύεις εἰς ὅλα. Ἀλλά, ὦ θεά, ἔλα εἰς τούς μύστας πάντοτε βοηθός,
καί σῷζέ μας ἀπό τήν κακότυχη ἀνία τῶν φοβερῶν ἀσθενειῶν.

(69) LXIX. ΕΥΜΕΝΙΔΩΝ θυμίαμα, ἀρώματα.

Κλῦτε, θεαί πάντιμοι, ἐρίβρομοι, εὐάστειραι,
Τισιφόνη τε καί Ἀλληκτώ, καί δῖα Μέγαιρα·
νυκτέριαι, μύχιαι, ὑπό κεύθεσιν οἰκί' ἔχουσαι
ἄντρῳ ἐν ἠερόεντι, παρά Στυγός ἱερόν ὕδωρ·
οὐχ ὁσίαις βουλῇσι βροτῶν πεποτημέναι αἰεί
λυσσήρεις, ἀγέρωχοι, ἐπευάζουσαι ἀνάγκαις,
θηρόπεπλοι, τιμωροί, ἐρισθενέες, βαρυαλγεῖς,
Ἀΐδεω χθόνιαι φοβεραί κόραι αἰολόμορφοι,
ἠέριαι, ἀφανεῖς, ὠκύδρομοι, ὥστε νόημα.
αἴτ' αἰεί θνητῶν πάντων ἐπ' ἀπείρονα φῦλα
ὄμμα Δίκης ἐφορᾶτε, δικασπόλοι αἰέν ἐοῦσαι.
ἀλλά, θεαί Μοῖραι, ὀφιοπλόκαμοι, πολύμορφοι,
πρηΰνοον μετάθεσθε βίου μαλακόφρονα δόξαν.

(69) LXIX. ΕΥΜΕΝΙΔΩΝ θυμίαμα, ἀρώματα

Ἀκούσατέ με, ὦ θεαί, πού ἔχετε πᾶσαν τιμήν, πού φωνάζετε δυνατά, βακχικαί,
σεῖς ἡ Τισιφόνη καί ἡ Ἀλληκτώ καί ἡ θεϊκή Μέγαιρα· νυκτερινές, πού ζῆτε εἰς τόν μυχόν, καί ἔχετε εἰς τά βάθη τήν οἰκίαν σας μέσα εἰς ἕνα ὁμιχλῶδες σπήλαιον, πλησίον εἰς τό ἱερόν νερό τῆς Στυνός·
πετᾶτε πάντοτε ἕνεκα τῶν ἀνοσίων διαθέσεων τῶν ἀνθρώπων λυσσασμένες, μεγαλόφρονες, πολυδύναμες,
ἐπιφέρουσαι βαρεῖς πόνους,
κόρες τοῦ Ἅδου καταχθόνιες, ποικιλόμορφες, πού προξενεῖτε φόβον,
ἀέρινες, ἀφανεῖς, πού τρέχετε γρήγορα ὅπως τό νόημα (ὁ νοῦς).
Ἐσεῖς ἐπιβλέπετε πάντοτε ὡσάν μάτι τῆς Δίκης τίς ἀπειράριθμες φυλές ὅλων τῶν ἀνθρώπων, καί εἶσθε πάντοτε δικασταί.
Ἀλλά, ὦ θεαί Μοῖραι, μέ τά πλοκάμια ἀπό φίδια, πολύμορφες, μεταθέσατε καί καταστήσατέ την μαλακόκαρδη, καί εὐμενῆ τήν γνώμην τοῦ βίου.

(70) LXX. ΕΥΜΕΝΙΔΩΝ θυμίαμα, ἀρώματα.

Κλῦτέ μευ, Εὐμενίδες μεγαλώνυμοι, εὔφρονι βουλῇ,
ἀγναί θυγατέρες μεγάλοιο Διός χθονίοιο,
Φερσεφόνης τ', ἐρατῆς κούρης καλλιπλοκάμοιο,
αἵ πάντων καθορᾶτε βίον θνητῶν ἀσεβούντων,

(70) LXX. ΕΥΜΕΝΙΔΩΝ θυμίαμα, ἀρώματα

Ἀκούσατέ με μέ εὐφρόσυνη διάθεσι, ὦ πολυένδοξοι Εὐμενίδες, ἁγναί θυγατέρες τοῦ μεγάλου γηΐνου Διός
καί τῆς Περσεφόνης, τῆς ἀξιαγάπητης κόρης μέ τούς ὡραίους πλοκάμους (τά ὡραία μαλλιά),
σεῖς αἱ ὁποῖαι ἐπιβλέπετε τόν βίον ὅλων τῶν ἀνθρώπων, πού ἀσεβοῦν,

τῶν ἀδίκων τιμωροί, ἐφεστηκυῖαι ἀνάγκῃ,
κυανόχρωτοι ἄνασσαι, ἀπαστράπτουσαι ἀπ᾽ ὄσσων
δεινήν ἀνταυγῆ φάεος σαρκοφθόρον αἴγλην·
ἀΐδιοι, φοβερῶπες, ἀπόστροφοι, αὐτοκράτειραι,
λυσιμελεῖς οἴστρῳ, βλοσυροί, νύχιαι, πολύποτμοι
νυκτέριαι κοῦραι, ὀφιοπλόκαμοι, φοβερῶπες,
ὑμέας κικλήσκω γνώμαις ὁσίῃσι πελάζειν.

αἱ τιμωροί τῶν ἀδίκων, πού στεκεσθε ἐπάνω εἰς τήν ἀνάγκην, μελαγχροινές βασίλισσες, πού ἐκπέμπετε, (πού πετᾶτε ἀπό τά μάτια σας φοβεράν σπινθηροβόλον λάμψιν, πού καταστρέφει τάς σάρκας· αἰώνιες, φοβερές τήν ὄψιν, ἀποτρόπαιες, κυρίαρχοι,
πού λύετε (παραλύετε) τά μέλη τοῦ σώματος μέ τήν μανίαν, αὐστηρές, νυκτερινές, μέ τίς πολλές τύχες,
κόρες τῆς νυκτός, μέ τά πλοκάμια ἀπό φίδια, φοβερές κατά τήν μορφή,
ἐσᾶς προσκαλῶ νά μᾶς δώσετε σκέψεις καθαράς (ὁσίας).

(71) LXXI. ΜΗΛΙΝΟΗΣ θυμίαμα, ἀρώματα.

Μηλινόην καλέω, νύμφην χθονίην, κροκόπεπλον
ἣν παρά Κωκυτοῦ προχοαῖς ἐλοχεύσατο σεμνή
Φερσεφόνη, λέκτροις ἱεροῖς Ζηνός Κρονίοιο·
ἣ ψευσθεὶς Πλούτων· ἐμίγη δολίαις ἀπάτῃσιν,
θυμῷ Φερσεφόνης δέ δισώματον ἔσπασε χροιήν.
ἣ θνητούς μαίνει φαντάσμασιν ἠερίοισιν,
ἀλλοκότοις ἰδέαις μορφῆς τύπον ἐκπροφανεῖσα.
ἄλλοτε μέν προφανῆς, ποτέ δέ σκοτόεσσα, νυχαυγής,
ἀνταίαις ἐφόδοισι κατά ζοφοειδέα νύκτα.
ἀλλά, θεά, λίτομαί σε, καταχθονίων βασίλεια,
ψυχῆς ἐκπέμποις οἴστρον ἐπί τέρματα γαίης,
εὐμενές εὔϊερον μύσταις φαίνουσα πρόσωπον.

(71) LXXI. ΜΗΛΙΝΟΗΣ θυμίαμα, ἀρώματα.

Τήν Μηλινόην προσκαλῶ, τήν γηΐνην νύμφην, μέ τόν κίτρινον πέπλον,
πού τήν ἐγέννησεν ἡ σεμνή Περσεφόνη πλησίον τῶν ἐκβολῶν τοῦ Κωκυτοῦ ἐπάνω εἰς τά ἱερά κρεββάτια τοῦ Διός, υἱοῦ τοῦ Κρόνου·
μέ αὐτήν ἐσμιξε, ἀφοῦ ἐξηπάτησε τόν Πλούτωνα μέ δόλιους ἀπατηλούς τρόπους,
καί διέσπασε μέ θυμόν τό διπλοῦν σῶμα τῆς Περσεφόνης,
ἡ ὁποία καθιστᾷ μανιακούς τούς ἀνθρώπους μέ ἀέρινα φαντάσματα,
ἀφοῦ ἔδειξε τόν τύπον τοῦ προσώπου της μέ παράξενες μορφές,
ἄλλοτε μέν ἐμφανής (φανερά), ἄλλοτε δέ σκοτεινή, λάμπουσα κατά τήν νύκτα,
μέ ἐχθρικάς ἐπιθέσεις κατά τήν σκοτεινήν νύκτα.
Ἀλλά σέ παρακαλῶ, θεά, βασίλισσα τῶν καταχθονίων,
νά ἀποπέμπῃς τήν μανίαν τῆς ψυχῆς εἰς τά πέρατα τῆς γῆς, ἐμφανίζουσα εἰς τούς μύστας εὐνοϊκόν ἱερόν πρόσωπον.

(72) LXXII. ΤΥΧΗΣ θυμίαμα, λίβανον.

Δεῦρο, Τύχη, καλέω σ᾽, ἀγαθήν κράντειραν ἐπ᾽ εὐχαῖς,
μειλιχίην, ἐνοδῖτιν, ἐπ᾽ εὐόλβοις κτεάτεσσιν,
Ἄρτεμιν ἡγεμόνην, μεγαλώνυμον, Εὐβουλῆος

(72) LXXII. ΤΥΧΗΣ θυμίαμα, λίβανον

Ἐδῶ, ὦ Τύχη, σέ προσκαλῶ, ἐσέ τήν ἀγαθήν κυβερνήτισσα, γιά νά εὐχηθοῦμε,
εἰς ἐσέ τήν μαλακήν, τήν διαμένουσαν εἰς τάς ὁδούς, σέ πλούσια κτήματα·
ἐσέ τήν βασίλισσαν Ἄρτεμιν, τήν ἔνδοξον, πού ἐγεννήθης ἀπό τό αἷμα τοῦ Εὐβούλου,

αἵματος ἐκγεγαῶσαν, ἀπρόσμαχον εὖχος ἔχουσαν,
τυμβιδίην, πολύπλαγκτον, ἀοίδιμον ἀνθρώποισιν.
ἐν σοί γάρ βίοτος θνητῶν παμποίκιλός ἐστιν·
οἷς μέν γάρ τεύχεις κτεάνων πλῆθος πολύολβον,
οἷς δέ κακήν πενίην, θυμῷ χόλον ὁρμαίνουσα.
ἀλλά, θεά, λίτομαί σε μολεῖν βίῳ εὐμενέουσαν,
ὄλβοισιν πλήθουσαν ἐπ' εὐόλβοις κτεάτεσσιν.

πού ἔχεις ἀκαταμάχητον καύχημα,
ἐσέ πού κάνεις εὐμετάβολον τόν βίον τῶν ἀνθρώπων·
διότι ἀπό σέ ἐξαρτᾶται ὁ πολυποίκιλος βίος τῶν ἀνθρώπων·
καί εἰς ἄλλους μέν παρέχεις πλοῦτον ἄπειρον,
εἰς ἄλλους ὅμως δίδεις τήν ἀθλίαν πτώχεια καί διεγείρεις εἰς τήν καρδιά των ὀργήν.
Ἀλλά, θεά, σέ παρακαλῶ νά ἔλθῃς εἰς τόν βίον μας εὐμενής, γεμάτη ἀπό εὐτυχία μέ πλούσια δῶρα.

(73) LXXIII. ΔΑΙΜΟΝΟΣ θυμίαμα, λίβανον.

Δαίμονα κικλήσκω, μέγαν, εὐηγήτορα, φρικτόν,
μειλίχιον Δία, παγγενέτην, βιοδώτορα θνητῶν,
Ζῆνα μέγαν, πολύπλαγκτον, ἀλάστορα, παμβασιλῆα·
πλουτοδότην, ὁπόταν γε βρυάζων οἶκον ἐσέλθῃ,
ἔμπαλι δέ ψύχοντα βίον θνητῶν πολυμόχθων.
ἐν σοί γάρ λύπης τε χαρᾶς τε κλῆδες ὀχοῦνται·
τοιγάρ τοι, μάκαρ ἀγνέ, πολύστονα κήδε' ἐλάσσας,
ὅσσα βιοφθορίην πέμπει κατά γαῖαν ἅπασαν,
εὔδοξον βιοτῆς γλυκερόν τέλος ἐσθλόν ὀπάζοις.

(73) LXXIII. ΔΑΙΜΟΝΟΣ θυμίαμα, λίβανον

Τόν Δαίμονα ἐπικαλοῦμαι τόν μέγαν, τόν καλόν ὁδηγόν, τόν φρικτόν (πού προκαλεῖ φρίκην),
τόν μαλακόν Δία, τόν γεννήτορα τῶν πάντων, αὐτόν πού δίδει τήν ζωήν εἰς τούς θνητούς,
τόν Δία τόν μεγάλον, τόν πολυπλάνητον, τόν τιμωρόν, τόν βασιλέα τῶν πάντων·
τόν δίδοντα τόν πλοῦτον, ὅταν εἰσέλθῃ εἰς τόν οἶκον φουσκωμένος (ἀπό δῶρα),
καί ἀντιθέτως ἀφανίζεις τόν βίον (τήν περιουσίαν) τῶν ἀνθρώπων, πού μοχθοῦν πολύ·
διότι ἀπό σέ μεταφέρονται (ἐσύ κατέχεις) τά κλειδιά τῆς λύπης καί τῆς χαρᾶς.
Διά τοῦτο, ὦ μακάριε, ἁγνέ, ἀφοῦ ἀπομακρύνεις τάς λυπηράς ἀνησυχίας,
ὅσαι στέλλουν τήν καταστροφήν τῆς ζωῆς εἰς ὅλην τήν γῆν,
εἴθε νά μᾶς δώσῃς ἔνδοξον, γλυκύ καλό τέλος τοῦ βίου.

(74) LXXIV. ΛΕΥΚΟΘΕΑΣ θυμίαμα, ἀρώματα.

Λευκοθέην καλέω Καδμηΐδα, δαίμονα αεμνήν,
εὐδύνατον, θρέπτειραν ἐϋστεφάνου Διονύσου.
κλῦθι, θεά πόντοιο βαθυστέρνοιο μέδουσα,
κύμασι τερπομένη, θνητῶν σώτειρα μεγίστη.
ἐν σοί γάρ νηῶν πελαγοδρόμος ἄστατος ὁρμή,

(74) LXXIV. ΛΕΥΚΟΘΕΑΣ θυμίαμα, ἀρώματα

Τήν Λευκοθέαν προσκαλῶ, τήν κόρην τοῦ Κάδμου, τήν σεμνήν θεάν,
τήν δυνατήν, τήν τροφόν τοῦ καλλιστεφάνου Διονύσου.
Ἄκουσέ με, θεά, ἐσύ πού κυβερνᾷς τόν βαθύστερνο πόντον,
πού τέρπεσαι στά κύματα, καί εἶσαι ἡ μεγαλυτέρα σωτηρία τῶν ἀνθρώπων·
διότι ἀπό σέ ἐξαρτᾶται ἡ ἀσταθής ὁρμή τῶν πλοίων, πού διατρέχουν τό πέλαγος,

μούνη δέ θνητῶν οἰκτρόν μόρον εἰν ἁλί λύεις,
οἷς ἄν ἐφορμαίνουσα φίλη σωτήριος ἔλθῃς.
ἀλλά θεά δέσποινα, μόλοις ἐπαρωγός ἑοῦσα
νηυσίν ἐπ᾽ εὐσέλμοις σωτήριος εὔφρονι βουλῇ,
μύσταις ἐν πόντῳ ναυσίδρομον οὖρον ἄγουσα.

καί μόνον ἐσύ ἀπολυτρώνεις τούς ἀνθρώπους
ἀπό τόν θλιβερόν θανατον εἰς τήν θάλασσαν,
πρός ὅσους ἐφορμῶσα ἤθελες ἔλθει ὡς φίλη σωτηρία.
᾽Αλλά, ὦ θεά δέσποινα, εἴθε νά ἔλθῃς, ἐπειδή εἶσαι βοηθός,
εἰς τά καλοφκιαγμένα πλοῖα ὡς σωτηρία μέ εὐχάριστη διάθεσιν,
καί εἰς τούς μύστας, πού εὑρίσκονται εἰς τήν θάλασσαν, νά φέρῃς οὔριον ἄνεμον, πού ἐπιταχύνει τόν πλοῦν.

(75) LXXV. ΠΑΛΑΙΜΟΝΟΣ θυμίαμα, μάνναν.

Σύντροφε Βακχεχόροιο Διονύσου πολυγηθοῦς,
ὅς ναίεις πόντοιο βυθούς βαθυκύμονας ἀγνούς,
κικλήσκω σε, Παλαῖμον, ἐπ᾽ εὐϊέροις τελετῇσιν
ἐλθεῖν εὐμενέοντα, νέῳ γήθοντα προσώπῳ,
καί σῴζειν μύστας κατά τε χθόνα καί κατά πόντον.
ποντοπλάνοις γάρ ἀεί νηυσίν χειμῶνος ἐναργής
φαινομένου σωτήρ μοῦνος θνητοῖς ἀναφαίνῃ,
ρυόμενος μῆνιν χαλεπήν κατά πόντιον οἶδμα.

(75) LXXV. ΠΑΛΑΙΜΟΝΟΣ θυμίαμα, μάνναν

Ὦ σύντροφε τοῦ Διονύσου τοῦ τερπνοῦ, πού σύρει τόν βακχικόν χορόν,
σύ πού κατοικεῖς εἰς τούς καθαρούς βυθούς τοῦ πόντου μέ τά μεγάλα κύματα,
ἐσέ ἐπικαλοῦμαι τόν Παλαίμονα νά προσέλθῃς εὐμενής εἰς τάς ἱεράς τελετάς καί χαρούμενος μέ νέον πρόσωπον.
καί νά διασῴζῃς τούς μύστας καί εἰς τήν γῆν καί εἰς τήν θάλασσαν.
Διότι ἐσύ μόνον ἐμφανίζεσαι πάντοτε φανερά ὡς σωτήρ τῶν ἀνθρώπων,
πού περιπλανῶνται μέ τά πλοῖα εἰς τήν θάλασσαν, ὅταν ἀναφαίνεται βαρυχειμωνιά, καί τούς διασῴζεις ἀπό τήν βαρειά μανίαν τῆς θαλασσοταραχῆς.

(76) LXXVI. ΜΟΥΣΩΝ θυμίαμα, λίβανον.

Μνημοσύνης καί Ζηνός ἐριγδούποιο θύγατρες,
Μοῦσαι Πιερίδες μεγαλώνυμοι, ἀγλαόφημοι,
θνητοῖς οἷς κε παρῆτε, ποθεινόταται, πολύμορφοι,
πάσης παιδείης ἀρετήν γεννῶσαι ἄμεμπτον·
θρέπτειραι ψυχῆς, διανοίας ὀρθοδότειραι,
καί νόου εὐδυνάτοιο καθηγήτειραι ἄνασσαι,
αἵ τελετάς θνητοῖς ἀνεδείξατε μυστιπολεύτους,
Κλειώ τ᾽, Εὐτέρπη τε, Θάλειά τε, Μελπομένη τε,

(76) LXXVI. ΜΟΥΣΩΝ θυμίαμα, λίβανον

Σεῖς αἱ θυγατέρες τῆς Μνημοσύνης καί τοῦ βροντεροῦ Διός, ὦ ἔνδοξες Πιερίδες Μοῦσαι μέ τήν λαμπράν φήμην,
σεῖς εἰς ὅσους ἀνθρώπους παρευρεθῆτε εἶσθε περιπόθητες, πολύμορφες, ἐπειδή γεννᾶτε τήν ἄμεμπτον ἀρετήν πάσης παιδείας·
ἐσεῖς τρέφετε τήν ψυχήν καί δίδετε τήν ὀρθήν κατεύθυνσιν εἰς τήν διανόησιν,
καί εἶσθε αἱ ὁδηγοί βασίλισσαι τοῦ δυνατοῦ νοῦ,
σεῖς πού ἐδείξατε εἰς τούς ἀνθρώπους τάς τελετάς, αἱ ὁποῖαι ἑορτάζονται μέ μυστήρια,
σεῖς ἡ Κλειώ ἡ Εὐτέρπη, ἡ Θάλεια, ἡ Μελπομένη,

Τερψιχόρη τ', Ἐρατώ τε, Πολύμνια τ', Οὐρανίη τε,
Καλλιόπη σύν μητρί, μάλ' εὐδύνατοι θεαί ἀγναί.
ἀλλά μόλοιτε, θεαί, μύσταις, πολυποίκιλοι, ἀγναί,
εὔκλειαν ζῆλόν τ' ἐρατόν πολύυμνον ἄγουσαι.

ἡ Τερψιχόρη, ἡ Ἐρατώ, ἡ Πολύμνια, ἡ Οὐρανία
καί ἡ μητέρα μου Καλλιόπη, πού εἶσθε ἁγνές θεές πολύ ἰσχυρές.
Ἀλλά εἶθε, ὦ θεαί, νά προσέλθετε εἰς τούς μύστας σεῖς πού εἶσθε πολυποίκιλοι καί ἁγναί, καί νά φέρετε εἰς αὐτούς δόξαν καί ζῆλον (ἐπιθυμίαν πρός δόξαν) ἀξιέραστον καί πολυύμνητον.

(77) LXXVII. ΜΝΗΜΟΣΥΝΗΣ θυμίαμα, λίβανον.

Μνημοσύνης καλέω, Ζηνός σύλλεκτρον, ἄνασσαν,
ἥ Μούσας τέκνωσ' ἱεράς, ὁσίας, λιγυφώνους,
ἐκτός ἔχουσα κάκης μνήμην βλαψίφρονος αἰεί,
πάντα νόον συνέχουσα βροτῶν ψυχῆσι σύνοικον,
εὐδύνατον κρατερόν θνητῶν αὔξουσα λογισμόν,
ἡδυτάτη, φιλάγρυπνος, ὑπομνήσκουσά τε πάντα,
ὧν ἄν ἕκαστος ἀεί στέρνοις γνώμην κατάθηται.
οὔτι παρεκβαίνουσ', ἐπεγείρουσα φρένα πᾶσιν.
ἀλλά, μάκαιρα θεά, μύσταις μνήμην ἐπέγειρε
εὐϊέρου τελετῆς, λήθην δ' ἀπό τῶνδ' ἀπόπεμπε.

(77) LXXVII. ΜΝΗΜΟΣΥΝΗΣ θυμίαμα, λίβανον

Τήν Μνημοσύνην προσκαλῶ, τήν σύζυγον τοῦ Διός, τήν βασίλισσαν,
ἡ ὁποία ἐγέννησε τάς ἱερᾶς Μούσας, τάς ὁσίας, τάς λιγυροφώνους (μέ τήν λιγυρή φωνή),
πού ἔχει πάντοτε τήν μνήμην της ἔξω ἀπό τήν κακίαν, ἡ ὁποία (κακία) βλάπτει τάς φρένας·
καί συγκρατεῖ κάθε νοῦν τῶν βροτῶν σύνοικον μέ τάς ψυχάς καί αὐξάνει τόν δυνατόν καί ἰσχυρόν λογισμόν τῶν ἀνθρώπων· εἶναι γλυκυτάτη, ἀγαπᾷ τήν ἀγρυπνίαν, ὑπενθυμίζει τά πάντα.
περί τῶν ὁποίων ὁ καθένας σχηματίζει πάντοτε γνώμιν (ἀποκτᾷ μνήμην)·
οὔτε παρεκτρέπεται καί διεγείρει εἰς ὅλους τήν σκέψιν.
Ἀλλά, μακαρία θεά, ξεσήκωσε (δυνάμωσε) τήν μνήμην εἰς τούς μύστας τῆς ἱερᾶς ταύτης τελετουργίας,
καί ἀπόδιωξε ἀπό αὐτούς τήν λησμοσύνη.

(78) LXXVIII. ΗΟΥΣ θυμίαμα, μάνναν.

Κλῦθι, θεά θνητοῖς φαεσίμβροτον ἦμαρ ἄγουσα,
Ἠώς λαμπροφαής, ἐρυθαινομένη κατά κόσμον,
ἀγγελίεια θεοῦ μεγάλου Τιτῆνος ἀγαυοῦ,
ἥ νυκτός ζοφόεντα κελαινοχρῶτα πορείην
ἀντολίαις ταῖς σαῖς πέμπεις ὑπό νέρτερα γαίης·
ἔργων ἠγήτειρα, βίου πρόπολε θνητοῖσιν·
ἥ χαίρει θνητῶν μερόπων γένος· οὐδέ τίς ἐστιν,
ὅς φεύγει τήν σήν ὄψιν καθυπέρτερον οὖσαν,

(78) LXXVIII. ΗΟΥΣ θυμίαμα, μάνναν

Ἄκουσέ με σύ ἡ θεά, πού φέρεις εἰς τούς ἀνθρώπους τήν ἡμέραν, πού δίδει τό φῶς,
σύ ἡ Ἠώς ἡ λαμπροφέγγουσα, πού γίνεται κόκκινη στόν κόσμο, ἡ ἀγγελιαφόρος τοῦ μεγάλου θεοῦ, τοῦ ἐνδόξου Τιτᾶνος,
σύ ἡ ὁποία κατά τήν ἀνατολήν σου διώχνεις τῆς νυκτός τήν μαυρόχρωμη πορεία καί
τήν ἐξαποστέλλεις εἰς τά βάθη τῆς γῆς,
σύ πού εἶσαι ὁδηγός εἰς τά ἔργα τῶν ἀνθρώπων καί ἐξυπηρετεῖς τόν βίον των·
μέ σένα χαίρεται τό γένος τῶν θνητῶν ἀνθρώπων· καί δέν ὑπάρχει κανείς,
ὁ ὁποῖος ἀποφεύγει τήν ἰδικήν σου ὄψιν (νά

ἡνίκα τόν γλυκύν ὕπνον ἀπό βλεφάρων
ἀποσείσῃς,
πᾶς δέ βροτός γήθει, πᾶν ἑρπετόν, ἄλλα
τε φῦλα
τετραπόδων, πτηνῶν τε, καί εἰναλίων
πολυεθνῶν·
πάντα γάρ ἐργάσιμον βίοτον θνητοῖσι
πορίζεις.
ἀλλά, μάκαιρ᾽ ἀγνή, μύσταις ἱερόν φάος
αὔξοις.

(79) LXXIX. ΘΕΜΙΔΟΣ θυμίαμα, λίβανον.

Οὐρανόπαιδ᾽ ἁγνήν καλέω, Θέμιν
εὐπατέρειαν,
γαίης τό βλάστημα νέον, καλυκώπιδα
κούρην,
ἥ πρώτη κατέδειξε βροτοῖς μαντήϊον
ἁγνόν
Δελφικῷ ἐν κευθμῶνι, θεμιστεύουσα
θεοῖσιν,
Πυθίῳ ἐν δαπέδῳ, ὅτε Πυθοῖ
ἐμβασίλευεν·
ἥ καί Φοῖβον ἄνακτα θεμιστοσύνας
ἐδίδαξεν.
πάντιμ᾽ ἀγλαόμορφε, σεβάσμιε,
νυκτιπόλευτε·
πρώτη γάρ τελετάς ἁγίας θνητοῖς
ἀνέφηνας,
Βακχιακάς ἀνά νύκτας ἐπευάζουσα
ἄνακτα·
ἐκ σέο γάρ τιμαί μακάρων, μυστήρια θ᾽
ἁγνά.
ἀλλά, μάκαιρ᾽, ἔλθοις κεχαρημένη
εὔφρονι βουλῇ
εὐϊέρους ἐπί μυστιπόλους τελετάς σέο,
κούρη.

(80) LXXX. ΒΟΡΕΟΥ θυμίαμα, λίβανον.

Χειμερίοις αὔρῃσι δονῶν βαθύν ἠέρα
κόσμου,
κρυμοπαγής Βορέα, χιονώδεος ἔλθ᾽ ἀπό
Θρῄκης·
λῦέ τε παννέφελον στάσιν ἠέρος
ὑγροκελεύθου,
ἱκμάσι ριπίζων νοτεραῖς ὀμβρηγενές
ὕδωρ,

βλέπῃ ἐσένα), ἀφοῦ εἶσαι ἀνωτέρα ἀπό κάθε
ἄλλην,
ὅταν ἀπομακρύνῃς ἀπό τά βλέφαρά των τόν
γλυκύν ὕπνον·
καί κάθε ἄνθρωπος εὐχαριστεῖται νά σέ βλέπῃ,
καθώς καί κάθε ἑρπετόν
καί ὅλα τά ἄλλα γένη τῶν τετραπόδων ζῴων,
τῶν πουλιῶν καί τῶν θαλασσινῶν, πού ἀνήκουν
σέ πολλά εἴδη·
διότι προσπορίζεις εἰς τούς ἀνθρώπους ὅλον
τόν χρόνον, τήν αὐγήν, πού εἶναι κατάλληλος
πρός ἐργασίαν, γιά νά ζήσουν.
Ἀλλά ἐσύ ἡ μακαρία ἡ ἁγνή εἶθε νά αὐξήσῃς
εἰς τούς μύστας τό ἱερόν φῶς.

(79) LXXIX. ΘΕΜΙΔΟΣ θυμίαμα, λίβανον

Τήν κόρην τοῦ Οὐρανοῦ τήν ἁγνήν προσκαλῶ, τήν Θέμιν μέ τόν καλόν πατέρα,
τό νέον βλαστάρι τῆς Γῆς, τήν κόρην πού ἔχει πρόσωπον σάν ἄνθος,
πού πρώτη ἔδειξε εἰς τούς ἀνθρώπους τό ἱερόν μαντεῖον
εἰς τόν κρυψῶνα τῶν Δελφῶν καί ἀπέδιδε τό δίκαιον εἰς τούς θεούς
εἰς τόν ναόν τοῦ Ἀπόλλωνος, ὅτε ἐβασίλευεν εἰς τούς Δελφούς· αὐτή πού καί τόν Φοῖβον τόν ἄνακτα ἐδίδαξε τά δίκαια·
σύ ἡ ἔχουσα ὅλας τάς τιμάς, μέ τήν λαμπράν μορφήν, ἡ σεβαστή, πού περιπλανᾶσαι κατά τήν νύκτα·
διότι πρώτη ἐσύ ἐφανέρωσες εἰς τούς ἀνθρώπους τάς ἁγίας ἱεροτελεστίας
καί ἐπευφημοῦσες τόν ἄνακτα κατά τάς βακχικάς νύκτας·
διότι ἀπό σένα προέρχονται αἱ τιμαί τῶν θεῶν καί τά ἅγια μυστήρια.
Ἀλλά, μακαρία, εἶθε νά ἔλθῃς χαρούμενη μέ εὐφρόσυνον διάθεσιν
εἰς τάς ἱεράς μυστηριακάς τελετουργίας, πού γίνονται γιά σέ, ὦ κόρη.

(80) LXXX. ΒΟΡΕΟΥ θυμίαμα, λίβανον

Ὦ σύ πού μέ τίς χειμωνιάτικες αὖρες δονεῖς (συγκλονίζεις, ταράσσεις) τόν βαθύν ἀέρα τοῦ κόσμου,
σύ ὁ παγετώδης Βορέας, ἔλα ἀπό τήν χιονοσκεπῆ Θράκην·
καί λύσε τήν στάσιν (τό σταμάτημα), πού εἶναι σκεπασμένη ἀπό σύννεφα, τοῦ ἀέρος, πού ἔχει τόν δρόμον του στά νερά,

αἴθρια πάντα τιθείς, θαλερόμματον αἰθέρα τεύχων
ἀκτῖσιν λάμπουσαν ἐπί χθονός ἠελίοιο.

(81) LXXXI. ΖΕΦΥΡΟΥ θυμίαμα, λίβανον.

Αὔραι ποντογενεῖς Ζεφυρίτιδες, ἠεροφοῖτοι,
ἠδύοπνοοι, ψιθυραί, καμάτου ἀνάπαυσιν ἔχουσαι,
εἰαριναί, λειμωνιάδες, πεποθημέναι ὄρμοις,
σύρουσαι νηυσίν τρυφερόν πόρον, ἠέρα κοῦφον,
ἔλθοιτ᾽ εὐμενέουσαι, ἐπιπνείουσαι ἀμεμφεῖς,
ἠέριαι, ἀφανεῖς, κουφόπτεροι, ἠερόμορφοι.

(82) LXXXII. ΝΟΤΟΥ θυμίαμα, λίβανον.

Λαιψηρόν πήδημα δι᾽ ἠέρος ὑγροπόρευτον,
ὠκείαις πτερύγεσσι δονούμενος ἔνθα καί ἔνθα,
ἔλθοις σύν νεφέλαις νοτίαις, ὄμβροιο γενάρχα.
τοῦτο γάρ ἐκ Διός ἐστι σέθεν γέρας ἠερόφοιτον,
ὀμβροτόκους νεφέλας ἐξ ἠέρος εἰς χθόνα πέμπειν.
τοιγάρ τοι λιτόμεσθα, μάκαρ, ἱεροῖσι χαρέντα
πέμπειν καρποτρόφους ὄμβρους ἐπί μητέρα γαῖαν.

(83) LXXXIII. ΩΚΕΑΝΟΥ θυμίαμα, ἀρώματα.

Ὠκεανόν καλέω, πατέρ᾽ ἄφθιτον, αἰέν ἐόντα,
ἀθανάτων τε θεῶν γένεσιν, θνητῶν τ᾽ ἀνθρώπων,
ὅς περικυμαίνει γαίης περιτέρμονα κύκλον·
ἐξ οὗπερ πάντες ποταμοί καί πᾶσα θάλασσα,
καί χθόνιοι γαίης πηγόρρυτοι ἰκμάδες ἀγναί.

καί φύσησε μέ τις ὑγρές πνοές σου τό νερό, πού γεννιέται ἀπό τήν βροχή,
καί κάμε ὅλα αἴθρια (καθαρά) καί φτιάσε τόν αἰθέρα νά ἔχῃ ὡραία μάτια
καί νά λάμπῃ μέ τίς ἀκτῖνες τοῦ ἡλίου εἰς τήν γῆν.

(81) LXXXI. ΖΕΦΥΡΟΥ θυμίαμα, λίβανον

Ὦ αὔρες τοῦ Ζεφύρου, πού γεννιέσθε στόν πόντο καί περιφέρεσθε στόν ἀέρα,
πού πνέετε γλυκά καί ψιθυριστά καί παρέχετε ἀνακούφισιν ἀπό τούς κόπους,
ἀνοιξιάτικες, πού φυσᾶτε εἰς τά λιβάδια καί εἶσθε περιπόθητες εἰς τούς δρμους (τά ἀγκυροβόλια),
ὦ σεῖς πού σύρετε τά πλοῖα σέ ἤσυχο πέραμα μέ ἀέρα ἐλαφρόν, εἴθε νά ἔλθετε μέ εὐμένειαν μέ πνοές εὐνοϊκές, ἀέρινες,
ἀφανεῖς, σάν ἐλαφρά πτερά, μέ μορφήν ἀέρος.

(82) LXXXII. ΝΟΤΟΥ, θυμίαμα, λίβανον

Σύ πού τρέχεις (πηδᾶς) γρήγορα διά τοῦ ἀέρος εἰς τά ὑγρά κύματα
καί δονεῖσαι μέ γρήγορα πτερά ἐδῶ καί ἐκεῖ,
εἴθε νά ἔλθῃς μέ σύννεφα τοῦ νοτιᾶ, σύ ὁ γενάρχης τῆς βροχῆς. Διότι τοῦτο μόνον τό δικαίωμα, τό προνόμιον, ἐδόθη εἰς σέ ἀπό τόν Δία,
νά στέλλῃς δηλαδή ἀπό τόν ἀέρα εἰς τήν γῆν τά σύννεφα, πού σχηματίζονται στόν Οὐρανό καί πού γεννοῦν τίς βροχές.
Διά τοῦτο σέ παρακαλοῦμεν, ὦ μακάριε, ἀφοῦ λάβῃς χαράν ἀπό τάς θυσίας,
νά μᾶς στέλλῃς εἰς τήν μητέρα γῆν τίς βροχές, πού τρέφουν τούς καρπούς.

(83) LXXXIII ΩΚΕΑΝΟΥ θυμίαμα, ἀρώματα

Τόν Ὠκεανόν προσκαλῶ, τόν ἀθάνατον πατέρα, τόν πάντοτε ὑπάρχοντα,
τήν ἀρχήν τῶν ἀθανάτων θεῶν καί τῶν θνητῶν ἀνθρώπων,
ὁ ὁποῖος κυματίζει γύρω ἀπό τήν γῆν πού τήν περικυκλώνει.
Ἀπό αὐτόν προέρχονται ὅλοι οἱ ποταμοί καί ὅλη ἡ θάλασσα
καί αἱ ἀγναί ὑποχθόνιοι ἰκμάδες τῆς γῆς, πού ρέουν ἀπό τίς πηγές.

κλῦθι, μάκαρ, πολύολβε, θεῶν ἄγνισμα μέγιστον,
τέρμα φίλον γαίης, ἀρχή πόλου, ὑγροκέλευθε,
ἕλθοις εὐμενέων μύσταις κεχαρισμένος αἰεί.

(84) LXXXIV. ΕΣΤΙΑΣ θυμίαμα, ἀρώματα.

Ἱστίη εὐδυνάτοιο Κρόνου θύγατερ βασίλεια,
ἥ μέσον οἶκον ἔχεις πυρός ἀενάοιο μεγίστου,
τούσδε σύ ἐν τελεταῖς ὁσίους μύστας ἀναδείξαις,
θεῖσ' αἰειθαλέας, πολυόλβους, εὔφρονας, ἁγνούς·
οἶκε θεῶν μακάρων, θνητῶν στήριγμα κραταιόν.
ἀίδιη, πολύμορφε, ποθεινοτάτη, χλοόμορφε,
μειδιόωσα, μάκαιρα, τάδ' ἱερά δέξαι προθύμως,
ὅλβον ἐπιπνείουσα καί ἠπιόχειρ' ὑγίειαν.

(85) LXXXV. ΥΠΝΟΥ θυμίαμα μετά μήκωνος.

Ὕπνε, ἄναξ μακάρων πάντων, θνητῶν τ' ἀνθρώπων,
καί πάντων ζώων, ὁπόσα τρέφει εὐρεῖα χθών·
πάντων γάρ κρατέεις μοῦνος, καί πᾶσι προσέρχῃ,
σώματα δεσμεύων ἐν ἀχαλκεύτοισι πέδῃσιν.
λυσιμέριμνε, κόπων ἡδεῖαν ἔχων ἀνάπαυσιν,
καί πάσης λύπης ἱερόν παραμύθιον ἔρδων·
καί θανάτου μελέτην ἐπάγεις, ψυχάς διασῴζων·
αὐτοκασίγνητος γάρ ἔφυς Λήθης Θανάτου τε.
ἀλλά, μάκαρ, λίτομαί σε κεκραμένον ἡδύν ἱκάνειν,
σῴζοντ' εὐμενέως μύστας θείοισιν ἐπ' ἔργοις.

Ἄκουσέ με, ὦ μακάριε, πού παρέχεις πολλήν εὐτυχίαν, καί εἶσαι τό μεγαλύτερον ἐξαγνιστικόν μέσον τῶν θεῶν,
τό ἀγαπητόν τέρμα τῆς γῆς, ἡ ἀρχή τοῦ πόλου, σύ πού ἔχεις ὡς δρόμο τά νερά,
Εἴθε νά ἔλθῃς μέ εὐμένειαν παρέχων πάντοτε τήν χάριν σου εἰς τούς μύστας.

(84) LXXXIV. ΕΣΤΙΑΣ θυμίαμα, ἀρώματα

Ὦ Ἑστία βασίλισσα, θυγατέρα τοῦ ἰσχυροῦ Κρόνου,
σύ ἡ ὁποία κατέχεις τό μέσον τῆς κατοικίας τοῦ αἰωνίου μεγίστου πυρός,
εἴθε σύ αὐτούς ἐδῶ τούς ἱερούς μύστας νά τούς ἀναδείξῃς κατά
τάς τελετάς,
καί νά τούς κάμῃς νά εἶναι πάντοτε θαλεροί, πολυευτυχισμένοι, εὐφρόσυνοι, ἁγνοί·
σύ εἶσαι ἡ κατοικία τῶν μακαρίων θεῶν, τό ἰσχυρόν στήριγμα τῶν ἀνθρώπων·
σύ ἡ αἰωνία, ἡ πολύμορφη, ἡ περιπόθητη, ἡ ὅμοια μέ χλόην,
πού σκορπίζεις μειδιάματα, ἡ μακαρία, δέξου μέ προθυμίαν αὐτές τίς θυσίες
καί φύσηξέ μας εὐτυχίαν καί τήν ὑγείαν, πού καταπραΰνει τόν ἄνθρωπον.

(85) LXXXV. ΥΠΝΟΥ θυμίαμα, μετά μήκωνος

Ὦ ὕπνε, σύ ὁ βασιλεύς ὅλων τῶν μακαρίων θεῶν καί τῶν θνητῶν ἀνθρώπων
καί ὅλων τῶν ζώων, ὅσα τρέφει ἡ εὐρεῖα γῆ·
διότι μόνος σου εἶσαι κυρίαρχος ὅλων, καί προσέρχεσαι εἰς ὅλους καί δεσμεύεις τά σώματα μέ δεσμά, πού δέν εἶναι κατασκευασμένα ἀπό χαλκό.
Ἐσύ μᾶς ἀπαλλάσσεις ἀπό τίς φροντίδες καί μᾶς παρέχεις γλυκειά ἀνακούφισι ἀπό τούς κόπους
καί μᾶς παρασκευάζεις γιά κάθε λύπη μιά ἱερή παρηγοριά·
καί μᾶς φέρεις ἐπίσης τήν ἄσκησιν (τήν προπαρασκευήν) τοῦ θανάτου καί διασῴζεις τάς ψυχάς μας·
διότι ἐσύ εἶσαι ἐκ φύσεως ὁ γνήσιος ἀδελφός τῆς Λήθης καί τοῦ Θανάτου.
Ἀλλά, ὦ μακάριε, σέ παρακαλῶ νά ἔλθῃς συγκερασμένος μέ γλυκύτητα
καί νά σῴζῃς εὐνοϊκῶς τούς μύστας γιά τά θεϊκά ἔργα.

(86) LXXXVI. ΟΝΕΙΡΟΥ θυμίαμα, ἀρώματα.

Κικλήσκω σε, μάκαρ, τανυσίπτερε,
οὖλε Ὄνειρε,
ἄγγελε μελλόντων, θνητοῖς χρησμῳδὲ
μέγιστε.
ἡσυχίῃ γάρ ὕπνου γλυκεροῦ σιγηλὸς
ἐπελθών
προσφωνῶν ψυχαῖς θνητῶν, νόον αὐτὸς
ἐγείρεις,
καί γνώμας μακάρων αὐτὸς καθ᾽ ὕπνους
ὑποπέμπεις,
σιγῶν σιγώσαις ψυχαῖς μέλλοντα
προφαίνων,
οἷσιν ἐπ᾽ εὐσεβίῃσι θεῶν νόος ἐσθλὸς
ὀδεύει,
ὡς ἄν ἀεί τό καλόν μᾶλλον, γνώμῃσι
προληφθέν,
τερπωλαῖς ὑπάγῃ βίον ἀνθρώπων
προχαρέντων,
τῶν δέ κακῶν ἀνάπαυλαν, ὅπως θεός
αὐτός ἐνίσπῃ.
εὐχωλαῖς θυσίαις τε χόλον λύσωσιν
ἀνάκτων.
εὐσεβέσιν γάρ ἀεί τό τέλος
γλυκερώτερόν ἐστιν·
τοῖς δέ κακοῖς οὔ κεν φαίνοι μέλλουσαν
ἀνάγκην, ος
ὄψις ὀνειρήεσσα, κακῶν ἐξάγγελ ἔργων,
ὄφρα κεν εὕρωνται λύσιν ἄλγεος
ἐρχομένοιο.
ἀλλά, μάκαρ, λίτομαί σε θεῶν μηνύματα
φράζειν,
ὡς ἄν ἀεί γνώμαις ὀρθαῖς κατά πάντα
πελάζῃς,
μηδέν ἐπ᾽ ἀλλοκότοισι κακῶν σημεῖα
προφαίνων.

(87) LXXXVII. ΘΑΝΑΤΟΥ θυμίαμα, μάννα.

Κλῦθί μευ, ὃς πάντων θνητῶν οἴηκα
κρατύνεις,
πᾶσι διδούς χρόνον ἀγνόν, ὅσων
πόρρωθεν ὑπάρχεις.
σός γάρ ὕπνος ψυχῆς θραύει καί
σώματος ὀλκόν,
ἡνίκ᾽ ἄν ἐκλύῃς φύσεως κεκρατημένα
δεσμά,

(86) LXXXVI. ΟΝΕΙΡΟΥ θυμίαμα, ἀρώματα

Ἐσένα προσκαλῶ, ὦ μακάριε, μέ τά μεγάλα
πτερά, ὦ Ὄνειρε ὠλοκληρωμένε,
σύ ὁ ἀγγελιαφόρος ἐκείνων, πού μέλλουν νά
γίνουν, μεγάλε προφήτη τῶν ἀνθρώπων·
διότι ἐσύ ἐπέρχεσαι σιωπηλός κατά τήν ἡσυχίαν τοῦ γλυκοῦ ὕπνου
καί φωνάζεις (ὁμιλεῖς) στίς ψυχές τῶν ἀνθρώπων· καί σύ ὁ
ἴδιος διεγείρεις τό μυαλό τους (τους ξυπνᾷς τό μυαλό),
καί τούς στέλλεις κρυφά στόν ὕπνο τους τάς γνώμας τῶν θεῶν
καί ἄφωνος φανερώνεις στις φυχές τίς κοιμισμένες τά μέλλοντα νά συμβοῦν·
εἰς ἐκείνους τούς ἀνθρώπους, τῶν ὁποίων ὁ καλός νοῦς συμβαδίζει πρός τήν εὐσέβειαν τῶν θεῶν,
ὥστε πάντοτε τό καλόν μᾶλλον, προκαθορισθέν διά τῶν γνωμῶν τῶν θεῶν, νά εἰδοποιῇς
καί νά καθοδηγῇς μέ τέρψεις τόν βίον τῶν ἀνθρώπων, πού ἠσθάνθησαν ἐκ τῶν προτέρων χαράν,
νά ἔχουν δέ ἀνακούφισιν ἀπό τά κακά, καθώς ὁ ἴδιος ὁ θεός θά τούς εἴπῃ,
διά νά διαλύσουν μέ προσευχάς καί θυσίας τήν ὀργήν τῶν βασιλέων·
διότι τό τέλος τῶν εὐσεβῶν ἀνθρώπων εἶναι πάντοτε γλυκύτερον.
Εἰς τούς κακούς ὅμως ἀνθρώπους δέν εἶναι δυνατόν νά φανερώσῃ
τήν μελλοντικήν ζωήν των
τό ὅραμα τοῦ ὀνείρου (ὁ Ὄνειρος),
ὡς ἄγγελος κακῶν ἔργων,
διά νά ἠμπορέσουν νά εὕρουν (οἱ κακοί ἄνθρωποι) τήν ἀπαλλαγήν ἀπό τά δεινά (τά κακά) πού ἔρχονται.
Ἀλλά σέ παρακαλῶ, ὦ μακάριε, νά μᾶς ἐξαγγέλλῃς τά μηνύματα τῶν θεῶν,
ὥστε νά μᾶς πλησιάζῃς πάντοτε μέ ὀρθάς κατά πάντα γνώμας καί νά μή μᾶς φανερώνῃς σημεῖα δυσάρεστα.

(87) LXXXVII. ΘΑΝΑΤΟΥ θυμίαμα, μάνναν

Ἄκουσέ με, σύ πού κρατεῖς ὅλων τῶν ἀνθρώπων τήν ζωήν, καί πού δίδεις χρόνον ἀγνόν εἰς ἐκείνους, ἀπό τούς ὁποίους εὑρίσκεσαι μακράν.
Διότι ὁ ἰδικός σου ὕπνος τσακίζει τήν ψυχήν καί σύρει τό σῶμα, διότι διαλύεις τά συγκρατη-

τόν μακρόν ζωοῖσι φέρων αἰώνιον ὕπνον,
κοινός μέν πάντων, ἄδικος δ᾽ ἐνίοισιν ὑπάρχων,
ἐν ταχυτῆτι βίου παύων νεοήλικας ἀκμάς.
ἐν σοί γάρ μούνῳ πάντων τό κριθέν τελεοῦται·
οὔτε γρ εὐχῇσιν πείθῃ μόνος οὔτε λιτῇσιν.
ἀλλά, μάκαρ, μακροῖσι χρόνοις ζωῆς σε πελάζειν
αἰτοῦμαι, θυσιῇσι καί εὐχωλαῖς λιτανεύων,
ὡς ἄν ἔοι γέρας ἐσθλόν ἐν ἀνθρώποισι τό γῆρας.

(88) LXXXVIII. Ὕμνος εἰς ΑΡΕΑ.

Ἄρες ὑπερμενέτα, βρισάρματε, χρυσεοπήληξ,
ὀμβριμόθυμε, φέρασπι, πολισσόε, χαλκοκορυστά,
καρτερόχειρ, ἀμόγητε, δορυσθενές, ἔρκος
Ὀλύμπου,
Νίκης εὐπολέμοιο πάτερ, συνάρωγε Θέμιστος,
ἀντιβίοισι τύραννε, δικαιοτάτων ἀγέ φωτῶν,
ἡνορέης σκηπτοῦχε, πυραυγέα κύκλον ἑλίσσων
αἰθέρος ἑπταπόροις ἐνί τείρεσιν, ἔνθα σε πῶλοι
ζαφλεγέες τριτάτης ὑπέρ ἄντυγος αἰέν ἔχουσιν·
κλῦθι, βροτῶν ἐπίκουρε, δοτήρ εὐθαρσέος ἥβης,
πρηΰ κατάστιλψον σέλας ὑψόθεν ἐς βιότητα
ἡμετέρην, καί κάρτος ἀρήϊον, ὥς κε δυναίμην
σεύεσθαι κακότητα πικρήν ἀπ᾽ ἐμοῖο καρήνου,
καί ψυχῆς ἀπατηλόν ὑπογνάμψαι φρεσίν ὁρμήν,
θυμοῦ τ᾽ αὖ μένος ὀξύ κατισχέμεν, ὅς μ᾽ ἐρέθῃσιν
μένα δεσμά τοῦ σώματος (τά δεσμά πού συγκρατοῦν τό σῶμα),
καί φέρεις εἰς τούς ζωντανούς τόν μακρόν αἰώνιον ὕπνον·
καί εἶσαι μέν κοινός εἰς ὅλους, ἀλλ᾽ εἰς μερικούς δείχνεσαι ἄδικος,
ὅταν μέ ταχύτητα θέτῃς τέρμα τοῦ βίου εἰς ἀνθρώπους
οἵ κε θεοῦ μέγα δῶρον ἐπισταμένως φορέωσιν.
Τόλμα δ᾽ ἀθανάτους καί ἐνηέϊ μειλίσσεσθαι

Καλοί δέ πάλιν ἐκτός τούτων λέγεται ὅτι εἶναι διά τάς θυσίας εἰς τούς ἀνθρώπους καί οἱ τοπάζοι, (τό τοπάζιον) πού ἔχουν μορφήν ὑάλου.

Σοῦ λέγω πρός τούτοις ὅτι καί ὁ λαμπρός ὀπάλλιος τέρπει τούς θεούς, διότι ἔχει τήν τρυφερότητα τοῦ τρυφεροῦ δέρματος περιπόθητου παιδιοῦ·
Καί αὐτός ἔχει κατασκευασθῆ καί ὡς βοηθός τῶν ματιῶν (δηλαδή βοηθεῖ καί ἐνισχύει τήν ὅρασιν).

Καί συμβουλεύω νά ἀναμειγνύῃς μέ τά δάκρυα τῆς πιτυᾶς καί μέ εὐώδη σμύρναν τήν δύναμιν τοῦ ὀψιανοῦ λίθου
καί τόν λάμποντα λεπιδωτόν μέ τίς λευκές φολίδες.

Διότι ἔτσι θά σοῦ δώσουν ἀμέσως (θά σοῦ εἴπουν) προφητείας γιά τά καλά, πού πρόκειται νά συμβοῦν εἰς τό μέλλον, καί γιά τά ὀλέθρια· καί θά μάθῃς ὅσα θέλεις. Καί ὁ λεπιδωτός προφυλάσσει προσέτι τά νεῦρα ἀπό ὀδυνηρά παθήματα.

Δύο ἀκόμη ὑπάρχουν χρυσότριχοι λίθοι τοῦ Ἡλίου,
καί οἱ δύο ἐξαίσιοι· καί ἔκπληξις θά σέ καταλάβῃ, ὅταν τούς ἴδῃς.

Καί εἰς τούς δύο αὐτούς λίθους ἔχουν φυτευθῆ ἐκ φύσεως ἀκτῖνες ἀληθιναί, ὄρθιαι, λαμπεραί· κατά μέν τήν ὄψιν εἶναι ὡσάν τρίχες,
ἔχουν δέ τήν μορφήν ἄλλων λίθων.

στίχοι 282-310

Ὁ μέν ἕνας θά καταλάβῃς, ὅτι ἀνήκει εἰς τό γένος τῶν κρυστάλλων (ὁ λίθος αὐτός σήμερον λέγεται «ρουτίλιον»)· ὁ δέ ἄλλος εἶναι φανερά, κατά τήν ὄψιν τό σῶμά του ὅμοιον μέ χρυσόλιθον· ἐάν ὅμως οὔτε αὐτός ὁ λίθος δέν εἶχε τρίχες, θά ἦτο κι᾽ αὐτός χρυσόλιθος· ἀλλά καί οἱ δύο αὐτοί λίθοι ἔχουν κατασκευασθῆ καλοί. Διότι ὁ Ἥλιος, πού φέρει τήν ζωήν, ἐνέβαλεν εἰς αὐτούς ἰσχυρόν πνεῦμα, ὥστε νά κάμνουν ἀμέσως ἐνδόξους τούς ἄνδρας καί σεμνοτέρους κατά τήν ὄψιν· καί βεβαίως πρέπει νά τούς ἐκτιμῶμεν. Διότι ταχέως ἐπέρχεται εἰς αὐτούς ἡ εὐγενής μορφή τῶν ἡρώων, καί φέρουν ἐπιδεξίως τό μέγα δῶρον τοῦ θεοῦ.

Τόλμησε τώρα νά ἐξευμενίζῃς τούς θεούς

Μαγνήσσῃ, τήν τ᾽ ἔξοχ᾽ ἐφίλατο θούριος Ἄρης,
οὕνεκεν, ὁππότε κεν πελάσῃ πολιοῖο σιδήρου,
ἠΰτε παρθενική ἀγανόφρονα χερσίν ἑλοῦσα
ἠΐθεον στέρνῳ προσπτύσσεται ἱμερόεντι,
ὣς ἥγ᾽ ἁρπάζουσα ποτί σφέτερον δέμας αἱρεῖ,
καί πάλιν οὐκ ἐθέλει μεθέμεν πολεμιστά σίδηρον.
ἤτοι μέν μιν φασί καί Ἠελίοιο πέλεσθαι
ἀμφίπολον κούρης, ὅτε κεν θέλγητρα παλύνῃ·
καί μιν ὑπερθύμοιο τεκεκτόνος Αἰήταο

καί μέ τήν προσηνῆ Μάγνησσαν, τήν ὁποίαν καί ὁ πολεμικός Ἄρης ἀγάπησε,
διότι ὁσάκις προσεγγίζει τόν ὑπόλευκον σίδηρον,
καθώς μία παρθένος, ἀφοῦ πιάσει μέ τά χέρια της κάποιον εὐγενικόν νέον, τόν ἀγκαλιάζει στό περιπόθητο στῆθός της,
ἔτσι κι᾽ αὐτή (ἡ Μάγνησσα) φέρουσα ἁρπακτικά πρός τό ἰδικόν της σῶμα συλλαμβάνει τόν σίδηρον, (ὁ Μαγνήτης)
καί πάλιν δέν θέλει νά ἀφήσῃ τόν πολεμιστήν (τόν ἰσχυρόν) σίδηρον.

Γι᾽ αὐτήν λέγουν, ὅτι εἶναι θεραπαινίς καί τῆς Κόρης τοῦ Ἡλίου, ὅταν ἁλείφῃ τά μαγικά μέσα (τά φίλτρα)·
αὐτήν ἐτίμησε καί ἡ πολυμήχανος κόρη τοῦ ἁλαζόνος Αἰήτου, (ἡ Μήδεια)

στίχοι 311-337

κύδηνεν κούρη πολυμήχανος. αὐτάρ ἔγωγε
σῆς ἁλόχου κέλομαί σε δαήμεναι, εἰ ἔθεν ἀγνόν
ἀνδρός ἀπ᾽ ἀλλοτρίοιο λέχος καί σῶμα φυλάσσει.
ἔς γάρ μιν κομίσας, ὑπό δέμνια κάθεο λάθρῃ,
χείλεσιν ἀείδων θελξίμβροτον ἀτρέμας ᾠδήν·
ἥ δέ κατακνώσσουσα καί ἠδέϊ περ μάλ᾽ ἐν ὕπνῳ,
ἀμφί σε χεῖρ᾽ ὀρέγουσα ποτιπτύσσειν μενεαίνει·
εἰ δέ ἑ μαχλοσύνῃσιν ἐλαύνει δῖ᾽ Ἀφροδίτη,
ὑψόθεν εἰς γαῖαν τετανύσσεται ἐκπροπεσοῦσα.
καί δοιώ Μάγνησσαν ἀδελφειώ φορεόντων,
θυμόν ἀπειρεσίης φυγέειν ἔριδος ποθέοντε.
καί λαούς ἀγορήνδε συναγρομένους ὀπί καλῇ
θέλξεις, ἐν στήθεσσιν ἄγων μελιηδέα πειθώ.
καί τοι πολλά κεν ἄλλα δυνησόμενος καταλέξαι
θέσκελα τοῖο λίθοιο, τί τοι πλέον οὐρανιώνων
φθέγξομαι, ὧν ἥγ᾽ αἶψα καί ὑψόθι περ μάλ᾽ ἐόντων

πού ἐσκότωσε τά τέκνα της. Ἀλλά ἐγώ σέ παροτρύνω νά μάθῃς γιά τήν σύζυγόν σου, ἄν διαφυλάσσῃ καθαρόν ἀπό ξένον ἄνδρα τό κρεββάτι καί τό σῶμά της.

Ἀφοῦ μεταφέρεις αὐτήν (τήν πέτραν) εἰς τό σπίτι σου, τοποθέτησέ την κρυφά κάτω ἀπό τήν κλίνην, (τό κρεββάτι σου)
τραγουδῶν μέ τά χείλη σου ἤρεμα ἕνα τραγούδι, πού μαγεύει τούς ἀνθρώπους·
αὐτή τότε (ἡ σύζυγός σου) κατεχομένη ἀπό πολύ γλυκύν ὕπνον, ἁπλώνουσα τά χέρια της γύρω ἀπό σέ καταλαμβάνεται ἀπό τήν ἐπιθυμίαν νά σέ περιπτύσσῃ· (ἀγκαλιάζῃ)
ἐάν ὅμως ἡ θεά Ἀφροδίτη παρασύρῃ αὐτήν εἰς πράξεις ἀσελγεῖς, (ὄχι φυσιολογικάς) τότε αὐτή, πεσοῦσα ἀπό ὑψηλά, θά ἐξαπλωθῇ εἰς τήν γῆν. Καί δύο ἀδελφοί ἄς φέρουν τήν Μάγνησσαν,
ἀν ποθοῦν νά ἀποφύγουν τήν ὀργήν ἀτελευτήτου φιλονικίας.

Ἐπίσης καί πλήθη ἀνθρώπων συνηθροισμένων εἰς συγκέντρωσιν θά μαγεύσῃς μέ ὡραίαν φωνήν, ἄν φέρῃς στά στήθη σου τήν πειστικότητα, πού εἶναι γλυκειά ὡσάν τό μέλι.

Καί βεβαίως ἄν καί πολλά ἄλλα θαυμαστά ἔργα θά ἠμπορέσω νά καταριθμήσω τούτου τοῦ λίθου, τί περισσότερον νά σοῦ εἴπω γιά τούς θεούς, τῶν ὁποίων ταχέως αὐτή ἡ πέτρα λυγίζει καί προσελκύει τήν καρδίαν των, ἄν καί εἶναι αὐτοί παρά πολύ ὑψηλά, διά νά πραγμα-

ἦτορ ἐπιγνάμπτει καί ἐφέλκεται,
ὄφρα κε σεῖο
ὦκα μάλ', ὥστε τοκῆες, ἐέλδωρ
ἐκτελέσωσιν.
ἀλλ' ἤτοι τάδε μέν καί ἐπαυτίκα
πειρηθῆναι
πάντα μάλ', ὅσσ' ἀγόρευσα, παρέσσεται,
εἴ κ' ἐπί βωμόν
ἔλθωμεν. καί γάρ τοι ἐπισπόμενός μοι
ὄγ' ἀνήρ
ὤμοισιν κρατεροῖσι λίθων φέρει αἰόλον
ὕλην.

Νῦν δ' ἐπεί ἀτραπιτοῖο πολύ πλέον
ἄμμι λέλειπται,
σεῖο δέ τοι κλονέει κραδίην μέγα
δέργμα δράκοντος,
μάνθανε καί δολιχῶν ὀφεων μή
δειδέμεν ἰούς.
τρίψαι γάρ λεπτήν ὀφιήτιδα κέκλεο
πέτρην,
ἥν ποτέ τις κρατεροῖσι πεπαρμένος
ἔλθῃ ὀδοῦσιν,

τοποιήσουν, ὡσάν νά εἶναι γονεῖς σου, πολύ ταχέως τήν ἐπιθυμίαν σου.

Ἀλλά ὅλα αὐτά, ὅσα σοῦ εἶπα, καί εὐθύς κατόπιν θά παρουσιασθῆ ἡ εὐκαιρία νά δοκιμάσης, ὅταν θά φθάσωμεν εἰς τόν βωμόν. Διότι αὐτός ὁ ἀνήρ, πού μέ ἀκολουθεῖ, φέρει εἰς τούς δυνατούς ὤμους του ποικίλον ὑλικόν ἀπό λίθους. Τώρα ὅμως ἐπειδή μᾶς ὑπολείπεται (νά διανύσωμεν) πολύ περισσότερον μέρος τῆς ὁδοῦ,
ἐνῶ τήν καρδιά σου συνταράζει τό μάτι τό μεγάλο τοῦ δράκοντος,
μάθε προσέτι νά μή φοβῆσαι τό δηλητήριον τῶν μακρῶν φιδιῶν.

στίχοι 338-366

καί μιν ἐφ' ἕλκεϊ πάσσε· καί ἀτρεκές
ἔσσετ' ὄνειαρ.
σύν δέ καί ὀστρίτην οἴνῳ λίθον
ἐντρίψαντας
ἀκρήτῳ, κέλομαι πίνειν, ὀδυνήφατον
εἰδώς.
Αὐτοκασιγνήτη πολιῆς καί ὁμώνυμ'
ἐχίδνης,
ἦ ρά ποτ' εἰναετῆ λώβην ἀμενηνόν
ἔθηκας
ῥίμφα Φιλοκτήταο, Μαχαονίης ὑπό
τέχνης.
οὐ μέν πως κείνην Ποιάντιος ἔλπετο
θυμῷ
νοῦσον ὑπεκφεύξεσθαι ἀταρτηρήν,
ποθέων περ·
ἀλλ' ὄγ' ἀλεξικάκοιο μαθών παρά
πατρός ἀρωγήν,
λᾶαν, ὅτις κ' ἀκέοιτο, βαλών ἔπι
φάρμακα μηρῷ,
σεῦεν ἐπί Τρώεσσιν Ἀλεξάνδροιο
φονῆα·
τόν ρα μεθ' ὑσμίνην ἴκειν ποσίν
ἀρτεμέεσσιν
Πριαμίδης Πάρις αὐτός, ἀποθνήσκων
περ, ἀπίστει.

στίχοι 338-366

Δῶσε δηλαδή ἐντολήν νά τρίψη λεπτόν ὀψίτην λίθον,
ἐάν κάποτε σοῦ ἔλθῃ κανείς διατρυπημένος ἀπό δυνατά δόντια (φιδιοῦ), καί μέ αὐτήν τήν σκόνην πασπάλιζε τήν πληγήν· καί τότε θά ἐπέλθῃ βέβαιον ὄφελος.

Συμβουλεύω δέ συγχρόνως μέ αὐτήν τήν σκόνην νά τρίψετε μέσα σέ ἄκρατο κρασί ὀστρίτην λίθον καί νά πίνετε αὐτό τό μεῖγμα, διότι γνωρίζω ὅτι καταπραΰνει τόν πόνον.

Γνησία ἀδελφή καί ὁμώνυμε τῆς ἀσπρόμαυρης ἔχιδνας, ταχέως κάποτε ἐσύ κατέστησες ἀσθενική τήν ἐννεατῆ κακοπάθειαν τοῦ Φιλοκτήτου ἀπό τήν τέχνην τοῦ Μαχάονος.

Δέν ἤλπιζε μέν κάπως ὁ υἱός τοῦ Ποίαντος ὅτι θά ἀποφύγῃ τήν βαρειά ἀσθένεια, καίτοι τό ἐποθοῦσε.

Ἀλλ' αὐτός ὅμως (ὁ Μαχάων), ἀφοῦ ἔμαθε ἀπό τόν πατέρα του, πού ἀποτρέπει τό κακόν, τήν βοήθειαν (τόν τρόπον τῆς βοηθείας), ἕνα λίθον, ὁ ὁποῖος θά τόν ἐθεράπευε, ἀφοῦ ἔβαλε φάρμακα ἐπάνω εἰς τόν μηρόν του (καί τόν ἐθεράπευσε), παρώρμησε ἐναντίον τῶν Τρώων τόν φονέα τοῦ Ἀλεξάνδρου· γιά τοῦτον ὁ ἴδιος ὁ Πάρις, ὁ υἱός τοῦ Πριάμου, καί ἐνῶ ἀπέθνησκε, ἐδυσπιστοῦσε ὅτι θά ἔλθῃ εἰς τήν μάχην μέ γερά πόδια.

ἔκτανε δ᾽ ἠπεροπῆα Πάριν Ποιάντιος ἥρως,
κεκλομένου Δαναοῖς Ἑλένου Τροίηνδε κομίσσαι
λοιγόν ἀδελφειοῖο μιαιφόνον ἐκ Λήμνοιο.
τῷ γάρ Ἀπόλλων Φοῖβος ἔχειν λίθον αὐδήεντα
δῶκε, σιδηρίτην νημερτέα· τόν ρα βροτοῖσιν
ἤνδανεν ἄλλοισιν καλέειν ἔμψυχον ὀρείτην,
γυρόν, ὑποτρηχύν, στιβαρόν, μελανόχροα, πυκνόν.
ἀμφί δέ μιν κύκλῳ πέρι τ᾽ ἀμφί τε πάντοθεν ἶνες
ἐμφερέες ρυτίδεσσιν ἐπιγράβδην τανύονται.
ἤματα μέν τρίς ἐφ᾽ ἑπτά βίην Ἑλένοιο πέπυσμαι
θηλυτέρης τε λέχος φεύγειν καί κοινά λοετρά,
καί μίμνειν ἀμίαντον ἐδωδῆς ἐμψύχοιο·
ἀενάῳ δ᾽ ἐνί πέτρον ἐχέφρονα πίδακι λούων,
φάρεσιν ἐν μαλακοῖσιν, ἅτε βρέφος, ἀλδήσασκε,
καί θεόν ὥς λιπαροῖσιν ἀρεσσάμενος θυέεσσιν,
λᾶαν ὑπερμενέεσσιν ἀοιδαῖς ἔμπνοον ἔρδεν.

στίχοι 367-395

ἐν καθαρῷ δέ φάος μεγάρῳ λύχνοισιν ἀνάπτων,
χερσίν ἑαῖς ἀτίταλλε, θεουδέα πέτρον ἀείρας,
μητέρι νήπιον υἱόν ἐοικώς ἀγκάς ἐχούσῃ.
καί σύ δ᾽, ἐπήν ἐθέλῃς ὅπα δαιμονίην ἐπακοῦσαι,
ὣδ᾽ ἔρδειν, ἵνα θαῦμα μετά φρεσί σῇσι δαείῃς·
ὁππότε γάρ μιν πάγχυ κάμῃς ἐνί χείρεσι πάλλων,
ἐξαπίνης ὄρσει νεογιλοῦ παιδός ἀϋτήν,
μαίης ἐν κόλπῳ κεκληγότος ἀμφί γάλακτι.
χρή δέ σε τετληῶτι νόῳ ἀκταινέμεν αἰεί,
μή πως ἠπεδανοῖο λυθείς ὑπό δείματος ἔξω

Ἀλλ᾽ ἐφόνευσεν ὁ ἡρωϊκός υἱός τοῦ Ποίαντος τόν ἀπατεῶνα Πάριν,
διότι ὁ Ἕλενος παρώτρυνε τούς Δαναούς νά μεταφέρουν ἀπό τήν Λῆμνον εἰς τήν Τροίαν τόν αἱμοχαρῆ φονέα τοῦ ἀδελφοῦ του.

Διότι ὁ Φοῖβος Ἀπόλλων ἔδωσε εἰς αὐτόν (τόν Ἕλενον) νά κρατῆ ἕνα λίθον ὁμιλοῦντα, τόν σιδηρίτην, πού λέγει τήν ἀλήθειαν· τοῦτον τόν λίθον εἰς ἄλλους ἀνθρώπους ἄρεσε νά τόν ὀνομάζουν ἔμψυχον (ζωντανόν) ὀρείτην,
καί εἶναι στρογγυλός, ὀλίγον σκληρός, βαρύς, μέ μαῦρο χρῶμα, στερεός.

Γύρω δέ ἀπ᾽ αὐτόν κυκλικῶς καί ἀπό ὅλα τά μέρη ἁπλώνονται ἐν εἴδει γραμμῶν ἶνες, πού εἶναι ὅμοιαι μέ ρυτίδας.
Ἐπί εἴκοσι καί μίαν ἡμέρας ἔμαθα ὅτι ὁ Ἕλενος ἀπέφευγε τό κρεββάτι γυναικός καί τά κοινά λουτρά καί παρέμενε ἀμέτοχος ἀπό ἔμψυχο φαγητό·
ἔλουε δέ τήν συνετήν πέτραν εἰς πηγήν, πού ἔτρεχε διαρκῶς, μέσα σέ μαλακά πανιά σάν νά ἦτο βρέφος, καί τήν ἔκανε νά αὐξηθῆ.
Καί ἀφοῦ ὡς θεόν τήν κατεπράϋνε μέ ἐλαιώδη θυμιάματα,

στίχοι 367-395

ἀνάπτων δέ μέ λυχνάρια φῶς μέσα σέ καθαρή αἴθουσα τήν ἐχάϊδευε μέ τά χέρια του, ἀφοῦ τήν ἐσήκωσε τήν θεόμορφη πέτρα, καί ὡμοίαζε μέ μητέρα πού κρατεῖ στήν ἀγκαλιά της τό μικρό παιδί της (τό νήπιο).

Καί σύ, ἄν θέλης ν᾽ ἀκούσης θεϊκήν φωνήν, ἔτσι νά πράττης, διά νά γνωρίσης θαῦμα στήν καρδιά σου· ὅταν δηλαδή ἀποκάμης παντελῶς κινῶν αὐτόν εἰς τάς χεῖράς σου, ξαφνικά θά σηκώση αὐτός (θά ἀναδώση) φωνήν νεογεννήτου παιδιοῦ,
τό ὁποῖον κραυγάζει μέσα στόν κόλπο τῆς παραμάννας γύρω ἀπό τό γάλα (ἐνῶ πίνει τό γάλα).

Πρέπει δέ ἐσύ μέ ψυχικήν καρτερίαν νά ὑψώνης (νά κρατῆς ὑψηλά) πάντοτε τόν λίθον, μήπως, ἐάν παραλύσης ἀπό φόβον, πού ἐξασθενίζει, καί τόν ἀποβάλης ἀπό τά χέρια σου

ἐκ χειρῶν οὔδάςδε βαλών, χόλον αἰνόν ὀρίνῃς
ἀθανάτων. τόλμα δέ θεοπροπίην ἐρεείνειν·
πάντα γάρ ἐξερέει νημερτέα. καί μιν ἔπειτα
πλησίον ὀφθαλμῶν, ὅτε κεν λούσης γε, πελάσσας,
δέρκεο· θεσπεσίως γάρ ἀποψύχοντα νοήσεις.
ὥδε μέν Ἀτρείδῃσιν ἀλώσιμον ἔφρασε πάτρην
Λαομεδοντιάδης, φοιβήτορι λᾶϊ πιθήσας.
σοί δ᾽ ἔτι καί σθένος ἄλλο σιδηρίταο πιφαύσκω·
ἑρπετά γάρ δή πάμπαν ὑποτρομέοντι ἔοικας.
σεῖο δ᾽ ἔχεν πολύ μεῖζον ἀκοίμητόν τε νόοιο
δεῖμα Φιλοκτήτης, μεμνημένος αἰέν ἐχίδνης.
τοὔνεκε Πριαμίδαο σαόφρονος οὔποτε νόσφιν
ἤθελεν ἔρχεσθαι, γουνούμενος, ὄφρα τιν᾽ εἴποι
θαλπωρήν, ἥνπερ ποτ᾽ ἐπί χθόνα μητέρα θηρῶν
ἔρχηται, πῶς κεν πολιόν γένος ἐκπροφύγῃσιν.
τῷ δ᾽ ὄγε Λητοΐδην ἐπέων ἐπιμάρτυρα Φοῖβον
κικλήσκων ἀγόρευε, τά δή νῦν σοι καταλέξω.
Εὖτε με παῖδ᾽ ἐδίδασκεν Ἀκερσεκόμης ἀγορεύειν
μαντοσύνας, μέγαν ὅρκον ἐκέκλετο πρῶτον ὀμόσσαι,

στίχοι 396-424

ψευδέα μήποτε μῦθον ἐνισπεῖν ἀνθρώποισιν.
τοὔνεκεν ἀτρεκέως μάλα τοι ἐρέω τά ἕκαστα.
φράζεο νῦν, ἥρως ἑκατηβόλε, μῦθον ἐμεῖο.
Αὐτή γαῖα μέλαινα πολυκλαύτοισι βροτοῖσιν
τίκτει καί κακότητα καί ἄλγεος ἄλκαρ ἑκάστου·
γαῖα μέν ἑρπετά τίκτε, τέκεν δ᾽ ἐπί τοῖσιν ἀρωγήν·
ῥίπτων αὐτόν εἰς τήν γῆν, διεγείρῃς τήν φοβεράν ὀργήν τῶν θεῶν. Καί λάβε τήν τόλμην νά ἐρωτᾷς τήν προφητικήν φωνήν· διότι ὅλα θά σοῦ τά εἴπῃ ἀληθινά. Καί ἀφοῦ ἔπειτα, ὅταν θά τόν λούσῃς, φέρεις αὐτόν πλησίον εἰς τούς ὀφθαλμούς σου, βλέπε· διότι θά καταλάβῃς ὅτι κατά ἐξαίσιον τρόπον ἔγινε ψυχρός.

Τοιουτοτρόπως καί ὁ υἱός τοῦ Λαομέδοντος εἶπεν, ὅτι ἡ πατρίς του θά κυριευθῇ ἀπό τούς Ἀτρείδας, διότι εἶχεν ἐμπιστοσύνην εἰς τόν προφητικόν λίθον.

Εἰς ἐσέ δέ ἀποκαλύπτω ἀκόμη καί ἄλλην δύναμιν τοῦ σιδηρίτου·
διότι φαίνεται, ὅτι ἐσύ τρομάζεις εἰς ὑπερβολικόν βαθμόν ἀπό τά ἑρπετά.

Πολύ ὅμως μεγαλύτερον ἀπό ἐσέ καί ἀκατανίκητον φόβον εἶχεν ὁ Φιλοκτήτης, ἐπειδή διετήρει πάντοτε εἰς τήν μνήμην του τήν ἔχιδναν.

Δι᾽ αὐτό οὐδέποτε ἤθελε νά βαδίζῃ χωριστά ἀπό τόν σώφρονα υἱόν τοῦ Πριάμου καί τόν παρεκάλει, διά νά τοῦ εἴπῃ κάποιον παρηγορητικόν λόγον, ἐάν κάποτε βαδίζῃ εἰς περιοχήν, πού τρέφει θηρία (φίδια), πῶς θά ἠμπορέσῃ νά ἀποφύγῃ τό ἀσπρόμαυρο γένος.

Πρός αὐτόν, ἐπικαλούμενος ὡς μάρτυρα τῶν λόγων του τόν Φοῖβον, τόν υἱόν τῆς Λητοῦς, ὡμίλησε αὐτός (ὁ υἱός τοῦ Πριάμου) καί τοῦ εἶπε αὐτά, τά ὁποῖα τώρα θά σοῦ ἐκθέσω.

στίχοι 396-424

Ὅταν ἐμέ ὡς παιδί μέ ἐδίδασκε ὁ Ἀκερσεκόμης (ὁ Φοῖβος) νά ἐξαγγέλλω μαντείας, κατά πρῶτον μέ παρώτρυνε νά δώσω μεγάλον ὅρκον, νά μή εἴπω δηλαδή ποτέ εἰς τούς ἀνθρώπους ψευδῆ λόγον. Δι᾽ αὐτό θά σοῦ εἴπω τά καθέκαστα μέ πολύ μεγάλην ἀκρίβειαν.

Σκέψου τώρα, ἥρωα μ α κ ρ ο β ό λ ε, (Ἀπόλλωνα) τόν λόγον μου. Αὐτή ἡ μαύρη γῆ γεννᾷ γιά τούς ἀνθρώπους, πράγματα πού προκαλοῦν πολλά κλάματα (πού τούς κάνουν νά κλαῖνε),
καί δυστυχίαν, ἀλλά καί τά μέσα πρός ἄμυναν ἐναντίον ἑκάστου πόνου·
ἡ γῆ δηλαδή ἐγέννησε μέν τά ἑρπετά (πού προκαλοῦν πόνους), ἀλλά ἐγέννησε καί τά βο-

ἐκ γαίης δέ λίθων πάντων γένος, ἐν δ᾽ ἄρα τοῖσιν
κάρτος ἀπειρέσιον καί ποικίλον. ὅσσα δύνανται
ρίζαι, τόσσα λίθοι. μέγα μέν σθένος ἔπλετο ρίζης·
ἀλλά λίθου πολύ μεῖζον· ἐπεί μένος ἄφθιτον αἰεί
γεινομένῳ μήτηρ καί ἀγήραον ἐγγυάλιξεν·
ἡ δέ καταθνήσκει τε, μινυνθάδιον θαλέθουσα,
καί τόσον αὐτῆς κάρτος, ἐφ᾽ ὁππόσον ἔμμονός ἐστιν·
εἰ δέ κ᾽ ἀποπνεύσῃ, τίς ἔτ᾽ ἐλπωρή παρά νεκρῆς;
ἐν μέν δή βοτάναις ῥίζας λυγρῶν τε καί ἐσθλῶν
δήεις, ἐν δέ λίθοις ἄτην οὐ ῥεῖά κεν εὕροις,
ἤτοι ὅσαι βοτάναι, τόσσοι λίθοι. Ἀλλά σύ γ᾽ ἥρως,
λαῖ σιδηρίτῃ πεφυλαγμένος, ἑρπετά πάντα
θαρσαλέως, εἰ καί τοι ὁμιλαδόν ἀντιόωεν,
ἔρχεσθαι διά μέσσα, κελαινῆς οὐκ ἀλεγίζων
λώβης. οὐ γάρ ἔτι σφι θέμις μεμνῆσθαι ὀδόντων,
οὐδ᾽ εἴ κεν στείχοντος ἐνιχρίμπτοιντο πόδεσσιν.
οὐδέ γάρ οὐδέ μένειν περ ἔτι προφανέντα δύνανται,
ἀλλά μετά σφίσι θάμβος, ἐλαυνομένοισι δ᾽ ὁμοῖα
ἔσσυνται. τά δέ καί περ ἐναντίον αἴξαντα,
ἄψ ὀπίσω παλίνορσα μεθερπύζειν μενεαίνει·
καί σφίσιν ἐξαπίνης ῥόθος ἵσταται, οὐδέ τι πρόσσω
νίσσεται, ἀλλ᾽ ὀρέγοντα πέλας περιμήκεα δειρήν
γλώσσῃσιν μεμάασι περισσαίνειν,. σκύλακες ὥς.

στίχοι 425-453

πολλάκι καί κατέδαρθε δαφοινῶν ἄγχι δρακόντων
ἀμφί κυνηγεσίῃσι μένων ἐν τάφρεσιν Ἴδης

ηθητικά κατά τούτων μέσα· (καί τά θεραπευτικά μέσα).
ἀπό δέ τήν γῆν προέρχεται τό γένος ὅλων τῶν λίθων, καί εἰς αὐτούς βέβαια ἐνυπάρχει ἀπέραντος καί διάφορος δύναμις. Ὅσα ἠμποροῦν νά προσφέρουν (εἰς τούς ἀνθρώπους) αἱ ῥίζαι (ὡρισμένων φυτῶν), τόσα καί οἱ λίθοι. Εἶναι πράγματι μεγάλη ἡ δύναμις τῆς ῥίζης· ἀλλά τοῦ λίθου εἶναι πολύ μεγαλυτέρα· ἐπειδή εἰς αὐτόν, πάντοτε καί διαρκῶς παραγόμενον, ἔδωσεν ἡ μητέρα (ἡ γῆ) ἀδιάφθορον καί ἀγήραστον δύναμιν·
ἡ ῥίζα ὅμως ἀποθνήσκει (μαραίνεται) καί ἀκμάζει ἐπί ὀλίγον χρόνον, καί εἶναι τόση ἡ δύναμίς της, ἐφ᾽ ὅσον χρόνον εἶναι ζωντανή (ἔχει πνοήν)·
ἐάν ὅμως ἐκπνεύσῃ, ποία πλέον ἐλπίς ὑπάρχει ἀπό μίαν νεκράν; Εἰς μέν τά βότανα θά συναντήσῃς βεβαίως τάς ῥίζας καί τῶν ἐπιβλαβῶν καί τῶν καλῶν, εἰς τούς λίθους ὅμως δέν θά ἠμπορέσῃς νά εὕρῃς εὐκόλως τήν βλάβην (ἐκεῖνο πού βλάπτει), ἐπομένως ὅσα πράγματι εἶναι τά (χρήσιμα) βότανα, ἄλλοι τόσοι εἶναι καί οἱ λίθοι. Ἀλλά σύ βέβαια ὁ ἥρως προφυλαγμένος μέ τόν λίθον σιδηρίτην, βάδιζε θαρραλέως διά μέσου ὅλων τῶν ἑρπετῶν, καί ἄν ἀκόμη σέ συναντοῦν κατά πλήθη, καί νά μή ὑπολογίζῃς τήν μαύρην κακοποίησιν (τήν δηλητηρίασιν). Διότι δέν εἶναι πλέον εἰς αὐτά ἐπιτρεπτόν νά ἐνθυμοῦνται τά δόντια των, οὔτε καί ἄν, ἐνῶ βαδίζεις, προσεγγίζουν τά πόδια σου. Διότι οὔτε ἠμποροῦν πλέον νά παραμένουν εἰς τήν θέσιν των, ὅταν ἐσύ φανῇς ἀπό μακρυά, ἀλλά ἀνήσυχα καί ἔκπληκτα ἀπό τήν παρουσίαν σου, ἀπομακρύνονται ἐσπευσμένως ὡσάν νά καταδιώκωνται. Ἀλλά καί ἐάν πηδήσῃς ἐνώπιόν των (μπροστά των), καταλαμβάνονται ἀπό τήν διάθεσιν νά ἔρπουν τινασσόμενα πάλιν πρός τά ὀπίσω· καί ξαφνικά σταματάει ὁ θόρυβος (πού προέρχεται ἀπ᾽ αὐτά), οὔτε προχωροῦν πρός τά ἐμπρός, ἀλλά ἁπλώνοντα πλησίον σου τόν μακρόν τράχηλόν των ἐπιθυμοῦν νά σέ χαϊδεύουν μέ τήν γλῶσσάν των, καθώς κάνουν τά σκυλάκια.

στίχοι 425-453

Πολλές φορές καί ὁ Εὔφορβος ὁ κυνηγός ἐκοιμήθη πλησίον ἐρυθρῶν δρακόντων, (φιδιῶν), ὅταν παρέμενε κατά τάς κυνηγετικάς του ἐξορμήσεις εἰς τά πυκνά δάση τῆς Ἴδης,

θηρητήρ Εὔφορβος, ἀρωγῇ τῇδε πεποιθώς.
δῶκα γάρ ἀντομένῳ λίθον ἱερόν· οὐδέ ποτ' αὐτῷ
ἐκ μάλα περ πολλῶν ἐλθεῖν κατεναντίον ἔτλη.
τέρπετο δ' Εὐφόρβῳ περικαλλέϊ φέρτατος ἀνδρῶν
αἰχμητής Μελάνιππος, ἀνεψιός ἐσθλός ἐμεῖο,
εἶδος ἀμώμητον, καί ἑπ' εἴδεϊ κάρτος ἄρειον
αἰζηοῦ ποθέων δουρικλυτοῦ, εὐπλοκάμοιο.
τοὔνεκα καί μετά θῆρας ἀλωμένου οὔ ποτε νόσφιν
ἔσθενεν Εὐφόβροιο μένειν Ἰκετάονος υἱός·
ἀλλ' αἰεί λασίοισιν ἐν οὔρεσιν ἀντιθέοιο
καγχαλόων κούροιο μετ' ἴχνια σύν τε κύνεσσιν
ἕσπετο σύν θ' ἑτάροις, ἔθελέν τέ οἱ οἷος ἕπεσθαι.
ἦ μέν κέν μιν πολλά πατήρ μενέαινεν ἐρύκειν,
ἀσχαλόων ἑόν υἷα φίλον θήρεσσι μάχεσθαι.
καί Πριάμοιο βίη κεν ἐρήτυεν· οὐδ' ὅγε θυμῷ
πείθετ', ἐπεί οὐκ ἐθέλεσκέ ποτ' Εὐφόρβοιο λιπέσθαι.
ῥεῖά γε μήν ἀέκοντα μέλας ἠρύκακον ὕδρος,
νέρθεν ὑπό κνήμης ὀλεσίμβροτον ἰόν ἐλάσσας·
τόν μέν ἔπειτ' ὀλοός πυρετός λάβεν, οὕνεκ' ἔμελλεν
αὖθι λελείψεσθαι. τό ῥά μιν καί μᾶλλον ἔτειρεν.
οἰκτείρων δ' ὀρέγοντα χέρας ποτί γούνατ' ἐμεῖο,
αὐτοῦ τοῦδε λίθοιο διατρίψαντα κέλευσα
λεπταλέην ἄχνην ἐπιπασσέμεν ἕλκεϊ λυγρῷ·
καί ῥα μάλ' αὐτίκα φῶτα κραταιή κάλλιπε νοῦσος.
τοῖον γαῖα βροτοῖσιν ἀρηγόνα τίκτεν ὀρείτην,
ἐπειδή εἶχε πεποίθησιν εἰς αὐτήν ἐδῶ τήν βοήθειαν, (ἐννοεῖ τήν πέτραν πού εἶχε μαζί του). Διότι μέ παρεκάλεσε καί τοῦ ἔδωσα τόν ἱερόν λίθον· καί οὐδέποτε ἐτόλμησε νά ἐπέλθῃ ἐναντίον του κανείς (δράκων), ἄν καί ἦσαν πολλοί εἰς τήν περιοχήν.

Ἠσθάνετο δέ τέρψιν νά συντροφεύῃ τόν ὡραῖον Εὔφορβον ἕνας ἄριστος ἀνήρ, ὁ πολεμιστής Μελάνιππος, ὁ καλός ἰδικός μου ἐξάδελφος, ἄμεμπτος κατά τήν μορφήν, καί μαζί μέ τήν (ὡραίαν) μορφήν εἶχε καί δύναμιν πολεμιστοῦ καί ρωμαλέου ἀνδρός, φημισμένου γιά τό δόρυ του καί καλλιπλοκάμου (μέ ὡραῖα μαλλιά). Διά τοῦτο καί ὅταν ὁ Εὔφορβος περιεπλανᾶτο ἀνάμεσα εἰς τά θηρία, οὐδέποτε ὁ υἱός τοῦ Ἰκετάονος ἐφρόντιζε νά εἶναι πάντοτε πλησίον του,
ἀλλά πάντοτε χαίρων εἰς τά δασοσκεπῆ ὄρη παρηκολούθει τά ἴχνη τοῦ ἰσοθέου νέου μαζί μέ τούς σκύλους του καί τούς συντρόφους του, καί ἤθελε νά τόν ἀκολουθῇ μόνον αὐτός.

Καί βέβαια ὁ πατέρας του ἐπεδίωκε με πολλούς τρόπους νά τόν ἐμποδίζῃ, ἐπειδή ἐλυπεῖτο πού ἔβλεπε τόν προσφιλῆ υἱόν του νά μάχεται ἐναντίον τῶν θηρίων.

Καί ὁ Πρίαμος ἐπίσης προσπαθοῦσε νά τόν ἐμποδίσῃ· ἀλλ' αὐτός δέν ἐπείθετο, διότι δέν ἤθελε νά ἐγκαταλείψῃ ποτέ τόν Εὔφορβον. Ἀλλά κάποτε ἕνα μαῦρο νερόφιδο, τό ὁποῖον τοῦ διεπέρασε κάτω ἀπό τήν κνήμην του δηλητήριον, πού καταστρέφει τούς ἀνθρώπους· ἔπειτα κατέλαβεν αὐτόν ἰσχυρός καταστρεπτικός πυρετός, ἕνεκα τοῦ ὁποίου θά ἀπεμακρύνετο ἀπό τήν συντροφιά τοῦ Εὐφόρβου καί τοῦτο τόν ἐβασάνιζε περισσότερον (ἀπό τόν πυρετόν).

Ἐπειδή ὅμως τόν εὐσπλαγχνίσθηκα, ὅταν τόν εἶδα νά ἁπλώνῃ τά χέρια του πρός τά γόνατά μου,
ἔδωσα ἐντολήν νά τρίψῃ αὐτόν ἐδῶ τόν λίθον καί
μέ τήν λεπτήν ἄχνην του νά πασπαλίζῃ τήν ὀλεθρίαν πληγήν·
καί πράγματι πολύ ταχέως ἡ βαρειά νόσος ἐγκατέλειψε τόν ἄνθρωπον.

Τέτοιον (σπουδαῖον) βοηθόν ἐγέννησεν ἡ γῆ διά τούς ἀνθρώπους τόν ὀρείτην,

ὅς τε καί οὐταμένοις ἄκος ἠρώεσσι κομίζει,
καί στείρῃσι γυναιξί τεκεῖν φίλα τέκνα δίδωσιν.

στίχοι 454-482

ποικίλα γάρ θνητοῖσι θεούς ἔρδειν ἀγορεύω.
ὡς καί ἐῆς ποτε μητρός Ἀβαρβαρέης ἐπάκουσας,
ἀνδρῶν εὖ μάλα νοῦσον ἐπισταμένης ἀκέσασθαι,
Βουκολίδης Εὔφορβος ἀγαυοῦ φάσκεν ὀφίτου
φάρμακα, μή μούνων ὄφεων κατένωπα δύνασθαι,
ἀλλά καί ὀφθαλμοῖσι φέρειν φάος, ἠδέ βαρεῖαν
ἐκ κεφαλῆς ἔλκειν ὀδύνην. ἤδη δέ τιν' ἀνδρῶν
οὔασι δηθύνοντα καθήρας ὤπασεν αἶψα
καί δή καί λεπτῆς ἐριήκοον ἔμμεν' ἀοιδῆς.
ἤδη καί τινα φῶτα, χόλῳ χρυσέης Ἀφροδίτης
ἔργα πρός ἱμερόεντα γάμων ἀμενηνόν ἐόντα,
μεμνῆσθαι φιλότητος ἀκεσσάμενος προΐαλλεν.
ἐν πυρί δ' εἴ κε βάλῃς μιν, ὀδωδήν ἑρπετά τοῖο
φεύξεται, οὐδ' ἔτι πωμενέει σχεδόν, οὐδ' ἐνί χειῇ.
Φεύγει καί κνίσῃσι γαγάτην ὀρνυμένῃσιν,
τείροντα θνητούς ἐχεπευκέϊ πάντας ἀϋτμῇ.
χροιῇ δ' αἰθαλόεις, πλατύς, οὐ μέγας ἔπλετ' ἰδέσθαι
καρφαλέῃ δ' ἴκελον πεύκῃ φλόγα δῖαν ὀρίνει.
ἀλλ' ὀλοόν ποτί ῥῖνας ἄγει μένος· οὐδ' ὅγε φῶτας
λήσεται, ὧν κ' ἐθέλοις ἱερήν ἄπο νοῦσον ἐλέγξαι.
γνάμψει γάρ σφέας αἶψα χαμαί προπρηνέας ἕλκων· οἱ δ' ἄρ'
ἀπό σφετέρου πεπαλαγμένοι ἀφλοισμοῖο στρωφῶντ' ἔνθα καί ἔνθα κυλινδόμενοι κατά γαῖαν.

ὁ ὁποῖος καί εἰς τούς πληγωμένους ἥρωας φέρει θεραπείαν καί εἰς τάς στείρας γυναῖκας παρέχει τήν δυνατότητα νά γεννοῦν ἀγαπητά τέκνα.

στίχοι 454-482

Λέγω λοιπόν ὅτι οἱ θεοί παρέχουν εἰς τούς ἀνθρώπους ποικίλα φάρμακα.

Καθώς καί ἀπό τήν ἰδικήν του μητέρα τήν Ἀβαρβαρέαν, πού ἐγνώριζε πολύ καλά νά θεραπεύση τήν νόσον τῶν ἀνδρῶν, ἄκουσες κάποτε,
ὅτι ὁ Βουκολίδης Εὔφορβος ἔλεγε γιά τά φάρμακα τοῦ εὐγενοῦς ὀφίτου (γιά τάς θεραπευτικάς ἰδιότητας τοῦ ὀφίτου), ὅτι ὄχι μόνον ἐναντίον τῶν φιδιῶν ἔχουν θεραπευτικήν δύναμιν ἀλλά καί εἰς τά μάτια φέρουν τό φῶς καί προσέτι τραβοῦν ἀπό τό κεφάλι τόν βαρύν πόνον.
Ἀκόμη δέ καί εἰς κάποιον ἄνθρωπον, πού ἦτο βραδύς κατά τά αὐτιά του (πού ἦτο κουφός) ἀφοῦ τά ἐκαθάρισε, ἔδωσε ταχέως τήν ἀκοήν καί μάλιστα τόν κατέστησεν ἱκανόν νά ἀκούη καί ἕνα λεπτό (σιγαλό) τραγούδι.

Ἐπίσης καί κάποιον ἄλλον ἄνθρωπον, ὁ ὁποῖος λόγῳ τῆς κατ' αὐτοῦ ὀργῆς τῆς χρυσῆς Ἀφροδίτης ἦτο ἀδύνατος (ἀνίκανος) νά ἐκτελέση τά περιπόθητα ἔργα τοῦ γάμου, ἀφοῦ τόν ἐθεράπευσε τόν ἐξαπέστειλε νά ἐνθυμηθῆ τόν ἔρωτα.

Ἐάν δέ βάλης αὐτόν τόν λίθον στήν φωτιά, τά ἑρπετά θά τραποῦν εἰς φυγήν ἀπό τήν ὀσμήν του, οὔτε θά παραμείνουν πλέον πλησίον, ἀκόμη οὔτε καί μέσα εἰς τήν τρύπαν των.

Ἀποφεύγουν ἐπίσης τά ἑρπετά καί τόν γαγάτην, ὅταν σηκώνωνται αἱ κνῖσαι, (οἱ μυρουδιές)
ὁ ὁποῖος βασανίζει ὅλους τούς ἀνθρώπους μέ τήν διαπεραστικήν ὀσμήν του.

Ἀλλά στίς μύτες φέρει ὁ γαγάτης καταστρεπτικήν μανίαν· οὔτε θά λησμονήση αὐτός τούς ἀνθρώπους ἐκείνους, τῶν ὁποίων θά ἤθελες νά ἐξελέγξης τήν ἱεράν νόσον (τήν ἐπιληψίαν).

Διότι θά τούς λυγίση παρασύρων ταχέως αὐτούς προύμυτα πρός τά κάτω·
αὐτοί δέ (οἱ ἐπιληπτικοί) ραντισμένοι ἀπό τόν ἰδικόν των ἀφρόν περιστρέφονται ἐδῶ καί ἐκεῖ καί κυλίονται κάτω στό χῶμα.

τοῖσι δέ χωομένη φρένα τέρπεται, ὁππότ' ἴδῃσιν
πήματα πάσχοντας κεραὴ πόδας ὠκέα Μήνη.
θηλυτέρη δ' εἴ κεν πολυφάρμακον ἀμφιβεβῶσα
καπνόν, ὑπό σπλάγχνοισιν ἀναΐσσοντα δέχηται,
ἀθρόος ἔνδοθεν ὦκα μέλας καταλείβεται ἰχώρ,
ὅς τε γυναικείῃ νεάτῃ μίμνων ἐνί γαστρί

στίχοι 483-511

κέκλεισται. τότε δ' αὖτις ὑπό πνοιῇσι λίθοιο
δερκομένη γάνυται οἱ ἄφαρ θολόν ἐκβλύζοντα
νηδύος. ἔκ γάρ νοῦσον ἀπειρεσίην ἀλεείνει.
ἄλλά τε πόλλ' ἐπί τοῖσι γαγάτην θέσκελα ρέζειν
οἶδα· σέ δέ κνίσσῃσιν ἐλαύνων ἑρπετά τέρψει.

Σκορπίε, σεῖο δέ λᾶαν ὁμώνυμον ἔμμεναι ἥρως
ἀγλαός Ὡρίων οὐκ ἔκλυεν· ἦ γάρ, ὀΐω,
πικρῇσιν τότε γυῖα πεπαρμένος ἀμφ' ὀδύνῃσιν,
μᾶλλον σφωϊτέρων κεν ἔχειν ἐθέλεσκέ μιν ἄστρων.

Οὐδ' ὅγε κορσήεντα λίθον κλύεν, οὕνεκα μιχθείς
δριμέος ἐν σκορόδοιο καρήατι, τοξευτῆρα
πευκεδανῶν ὤκιστα βελέμνων σκορπίον εἴργει.
τόν μέν ἐγώ κόρσῃ μάλ' ἐοικότα φημί βροτείῃ
παύειν, ὀξυτάτῳ τετριμμένον ἄμμιγα Βάκχῳ,
ἀμφίπολον θανάτοιο κελαινῆς ἀσπίδος ἰόν.
πέτρον δ' ὅς κεν μίξῃ ἐνί ροδόεντι ἐλαίῳ,
βάψας ἐκ πυρός ὀπτόν, ἐναυχενίαις ὀδύνῃσιν
ἄλκαρ ἄγει· μέλιτος δέ μετά γλυκεροῖο κερασθείς
ὕδατος ἀτηρήν ὀλέκει κατά γαστέρος ἰλύν,

Ἡ δέ κερασφόρος Μήνη, πού ἔχει γρήγορα πόδια, ἐπειδή εἶναι ὠργισμένη ἐναντίον αὐτῶν, ὅταν τούς ἴδῃ νά βασανίζωνται, τέρπεται μέ τήν καρδιά της. Ἐπίσης ἐάν κάποια γυναίκα, περιπατοῦσα γύρω ἀπό τόν καπνόν, πού ἔχει πολλά φάρμακα, δέχεται αὐτόν ἀναπηδῶντα στά σπλάγχνα της, (ἰχώρ τό ὑγρόν πού ρέει ἀντί αἵματος εἰς τάς φλέβας τῶν θεῶν, ἀλλά καί βρωμερόν, νοσογόνον, ὑγρόν πού βγαίνει στό κορμί ἀρρώστων ἀνθρώπων). Τότε ταχέως χύνεται ἀπό μέσα πολύς μαῦρος ἰχώρ, ὁ ὁποῖος ἀποκλείεται παραμένων εἰς τό ἔσχατον μέρος τῆς γυναικείας γαστρός (κοιλίας).

στίχοι 483-511

Τότε δέ ἐξ ἄλλου βλέπουσα νά ἐκρέῃ ἀπό τήν κοιλίαν της κάτω ἀπό τάς πνοάς τοῦ λίθου λασπῶδες ὑγρόν χαίρεται γι' αὐτόν. Διότι αὐτός ὁ λίθος ἀπομακρύνει τήν ἀπέραντον νόσον.

Γνωρίζω ἐπίσης, ὅτι ὁ γαγάτης ἐκτός τούτων δημιουργεῖ, προκαλεῖ καί ἄλλα πολλά ἐξαίσια· ἐσέ δέ θά σέ τέρψῃ, ὅταν καταδιώκῃ μέ τίς κνίσεις (τήν ὀσμήν, τήν μυρουδιά) τά ἑρπετά.

Ὦ Σκορπιέ, ὁ λαμπρός ἥρως Ὡρίων δέν ἄκουε, ὅτι ὑπάρχει λίθος συνονόματος μέ σένα· διότι ἀληθινά, νομίζω, ὅτι ἤθελε μᾶλλον νά ἔχῃ αὐτόν παρά τά ἰδικά σας ἄστρα, τότε πού ἦσαν διατρυπημένα τά μέλη του ἀπό πικρούς πόνους.

Οὔτε ἄκουε αὐτός γιά τόν λίθον, πού ἔχει μορφήν κροτάφου, ὅτι αὐτός (ὁ λίθος), ἐάν ἀναμειχθῇ εἰς τήν κορυφήν καυστικοῦ σκόρδου, ἐμποδίζει ταχύτατα τόν σκορπιόν, πού ἐκτοξεύει πικρά βέλη (πού προκαλεῖ μέ τό δάγκωμά του φοβερούς πόνους).

Γιά τοῦτον τόν λίθον, ὁ ὁποῖος εἶναι πολύ ὁμορφος μέ κρόταφον ἀνθρώπου, λέγω ἐγώ ὅτι, ἐάν εἶναι τριμμένος ἀνάμεικτα μέ ὀξύτατο κρασί,
καταπαύει (καταστρέφει) τό δηλητήριον τῆς μαύρης ἀσπίδος, πού εἶναι ὑπηρέτης (τό δηλητήριον), τοῦ θανάτου.

Ὅποιος δέ θά ἀνεμείγνυε τόν λίθον ἐντός ἐλαίου ἀπό ρόδα, ἀφοῦ ψημένον ἀπό τήν φωτιά τόν βυθίση εἰς τό ὑγρόν τοῦ ροδελαίου, αὐτός προσφέρει θεραπευτικόν μέσον γιά τούς πόνους τῶν αὐχένων· καί ἐάν ἀναμειχθῇ ὁ λίθος μέ γλυκό μέλι, ἐξαφανίζει τήν καταστρεπτικήν ὑδατώδη λάσπην τῆς κοιλίας, ἡ

ἥ τε καταΐγδην ὑπό νέρτερα νηδύος ἀνδρῶν
δυομένη, φέρει ὄγκον ἀεικέα βουβώνεσσιν.
Ἴσθι δ᾽ ἀμαλδύνειν σκορπήϊα κέντρα δύνασθαι
καί Περσηϊάδαο μένος μέγα κουραλίοιο,
ἠδέ παλαμναίην ἀνεμώλιον ἀσπίδα θεῖναι.
τόνδε δέ μοι πάντων περιώσιον, ὅσσα φύονται,
Φοῖβος ἀκερσεκόμης φύσιν ἔμμεναι ἐξ ἑτέροιο
μυθεῖτ᾽ εἰς ἕτερον στρωφώμενον εἶδος· ὅ τίς τοι
ψεῦδός κεν φαίη. τό δ᾽ ἐπήτυμον οἶδα τετύχθαι.
χλωρή γάρ βοτάνη πρῶτον φύει· οὐδ᾽ ἑνί γαίῃ,

ὁποία (λάσπη) ὁρμητικῶς βυθίζεται εἰς τά κατώτερα μέρη τῆς κοιλίας τῶν ἀνδρῶν καί φέρει (δημιουργεῖ) εἰς τούς βουβῶνάς των ἐνοχλητικόν πρήξιμον (προφανῶς ἀπό ἀφροδίσιον νόσον).
Γνώριζε (μάθε) ἐπίσης, ὅτι ἡ μεγάλη δύναμις τοῦ κοραλίου τοῦ Περσείδου ἠμπορεῖ νά καταστρέφῃ τά κέντρα τοῦ σκορπιοῦ, καί νά καταστήσῃ ἀκίνδυνον τήν ὁλεθρίαν ἀσπίδα. Γιά τοῦτον τόν λίθον κατ᾽ ἐξοχήν ἐξ ὅλων τῶν ἄλλων, ὅσα γεννῶνται,
μοῦ ἔλεγεν ὁ Φοῖβος, ὁ πάντοτε νέος, ὅτι κατά τήν φύσιν του εἶναι εἶδος πού παράγεται μέ αὐξανόμενες λεπτές πτυχώσεις πού ἐπικάθηνται ἡ μιά ἐπί τῆς ἄλλης. Τοῦτο θά ἔλεγε κανείς ὅτι εἶναι ψεῦδος, γνωρίζω ὅμως τήν ἀλήθειαν πῶς κατεσκευάσθη.

Κατά πρῶτον δηλαδή φυτρώνει μία χλωρή βοτάνη· καί δέν φυτρώνει εἰς τήν γῆν,

στίχοι 512-540

ἦν γε φυτῶν ἴσμεν στερεήν τροφόν, ἀλλ᾽ ἑνί πόντῳ
ἀτρυγέτῳ, ἵνα φύκι᾽, ἵνα βρύα γίγνετ᾽ ἐλαφρά.
αὐτάρ ἐπεί κ᾽ ἔλθῃσι μαραινομένη ποτί γῆρας,
ἤτοι μέν οἱ φύλλα περιφθινύθουσιν ὑφ᾽ ἅλμης·
αὐτή δ᾽ ἐν βένθεσσι πολυφλοίσβοιο θαλάσσης
νήχεται, ὄφρα ἑ κύματ᾽ ἀποπτύσῃ αἰγιαλόνδε.
ἔνθα δ᾽ ἄρ᾽ ἐξαπίνης μιν ἀναπλεύσασαν ὑπ᾽ αἴθρην,
βάζουσ᾽, οἵπερ ἴδοντο, κρατυνομένην ὁράασθαι.
δηρόν δ᾽ οὐ μετέπειτα πάγῳ περιπαχνωθεῖσα
πετροῦται, καί χερσίν ἐν ὀκριόεντα τεῆσιν
ἀμφαφάεις λίθον, ὅς πρίν ἔχων ὑγρόν δέμας ἦεν.
σχῆμα μέν οὖν βοτάνης ἔτι οἱ μένει, οἷον ἔην περ,
οἵ τε κλάδοι, ὅσα τε σφιν ἀκρόδρυα προσπεφύασιν, ἥ τέ οἱ ἐβλάστησε
καί ἐτράφη εἰν ἁλί ῥίζα.
φλοιός θ᾽ ὅσπερ ἔην· φλοιός δέ γε λάϊνός ἐστιν

στίχοι 512-540

τήν ὁποίαν γνωρίζομεν ὡς σταθεράν τροφόν τῶν φυτῶν, ἀλλά εἰς τήν ἀνήσυχον θάλασσαν, ὅπου γίνονται φύκια καί ὅπου ἐπίσης γίνονται ἐλαφρά βρύα (χόρτα θαλάσσια).
Ὅταν ἔπειτα μαραινομένη φθάσῃ εἰς τό γῆρας,
τά μέν φύλλα της καταστρέφονται ἀπό τήν ἁλμύρα·
αὐτή δέ κολυμβᾶ εἰς τά βάθη τῆς πολυθορύβου θαλάσσης,
ἕως ὅτου τά κύματα τήν πετάξουν εἰς τήν ἀκρογιαλιά.
Ἐδῶ δέ ξαφνικά ἀφοῦ ἐπιπλεύσῃ κάτω ἀπό αἴθριον οὐρανόν, λέγουν ὅσοι τήν εἶδαν ὅτι φαίνεται νά ἰσχυροποιῆται.
Κι ἔπειτα ἀπό λίγο, ἀφοῦ πήξῃ ὁλόγυρα σάν πάγος,
μεταβάλλεται εἰς πέτραν, καί μέσα εἰς τά χέρια σου
αἰσθάνεσαι ἕνα λίθον τραχύν, ὁ ὁποῖος προηγουμένως εἶχε σῶμα ὑγρόν.
Τό σχῆμα βέβαια τῆς βοτάνης διατηρεῖται ἀκόμη, ὁποῖον ἦτο καί πρίν,
ἐπίσης διατηροῦνται καί οἱ κλάδοι καί ὅσοι ἄλλοι καρποί ἐφύτρωσαν ἀκόμη εἰς αὐτούς,
ἐπίσης καί ἡ ρίζα, ἡ ὁποία ἐβλάστησε καί ἐξετράφη μέσα εἰς τήν θάλασσαν·
καί ὁ φλοιός πού ἦτο· ἀλλά ὁ φλοιός εἶναι βέβαια τώρα λίθινος.

τερπωλή δ᾽ ἡδεῖα θεωμένου ἐς φρένα σεῖο
βήσετ᾽ ἐγώ δ᾽ οὐκ οἶδ᾽ ὅ τι μοι θέλγητρον ἰδόντ᾽
αιέν ἐπί πραπίδας καταλείβεται· οὐδέ δύνανται
ὅσσε κορεσθῆναι θηευμένου, ἀλλά με θάμβος
σεύει ἑνί στέρνοισιν ὀϊόμενον τέρας εἶναι·
καί οἱ πιστεύων περ, ἔολπα μέν εἶναι ἄπιστον·
ἀλλ᾽ οὐ Γοργείην μέν ἐτώσιος ἀνθρώποισιν
σμερδαλέην κεφαλήν φάτις ἔμμεναι· οὐδ᾽ ἄρα Περσεύς
ὠκυπέτης πέλεται ψευδές τέρας ἡγήσασθαι.
Γοργόνα γάρ Περσῆϊ δρακοντοέθειραν ἀκούεις
Ἄτλαντος νεάτοισιν ὑπό κρημνοῖσι δαμῆναι,
παρθένον ἀργαλέην, ἐρεβώπιδα, κῆρα μέλαιναν
ἀνθρώπων, οἵσιν κεν ἐπ᾽ ἀνδροφόνω βάλεν ὄσσε·
οἵ μιν δεῖμα πέλωρον ἀάσχετον ἀθρήσαντες

Κάποτε δέ γλυκειά τέρψις θά ἔλθη στήν καρδιά σου βλέποντας αὐτόν· ἐγώ δέ δέν γνωρίζω τί θέλγητρον καταβρέχει πάντοτε τάς φρένας μου, (ποία γοητεία καταλαμβάνει τήν σκέψιν μου), ὅταν τόν βλέπω· οὔτε εἶναι δυνατόν νά χορτάσουν τά μάτια ἐκείνου πού τόν θεᾶται (βλέπει), ἀλλά ἐμέ μέ καταλαμβάνει ἔκπληξις, ἐπειδή νομίζω ὅτι εἶναι κάποιο θαῦμα· καί ἐνῶ πιστεύω εἰς αὐτό, ἔχω βέβαια τήν ἐντύπωσιν ὅτι εἶναι κάτι ἀπίστευτον·
ἀλλά δέν εἶναι ματαία ἡ φήμη μεταξύ τῶν ἀνθρώπων, ὅτι ὑπάρχει ἡ φοβερά κεφαλή τῆς Γοργοῦς (τῆς Γοργόνας)·
οὔτε βέβαια ὁ ταχυπέτης Περσεύς φαίνεται νά ἐνόμισε ὅτι τοῦτο εἶναι ψεύτικο ὑπερφυσικόν φαινόμενον.

Διότι ἔχεις ἀκούσει ὅτι ἡ Γοργόνα μέ τά φίδινα πλοκάμια, μιά φοβερή παρθένος μέ ὄψιν σκοτεινήν, ἐφονεύθη ἀπό τόν Περσέα κάτω ἀπό τούς τελευταίους κρημνούς τοῦ Ἄτλαντος, αὐτή ἡ μαύρη δυστυχία γιά τούς ἀνθρώπους ἐκείνους, ἐναντίον τῶν ὁποίων θά ἔρριπτε τά ἀνθρωποκτόνα βλέμματά της·
αὐτοί ὅταν προσβλέψουν αὐτό τό πελώριο καί ἀκατανίκητον φόβητρον

στίχοι 541-569

αἴσῃ λαϊνέῃ τεθνηότες ἑστήκασιν.
ἣ τήν δ᾽ οὔτ᾽ εὐρύστερνος ἐναντίον Ἀτρυτώνη
δέρκεσθαι μενέαινεν, ἀδείμαντός περ ἐοῦσα,
οὔτε κασιγνήτῳ κέλετο, κρατερόφρονι φωτί,
χρυσοπάτρῳ Περσῆϊ φονευομένην περ ἰδέσθαι,
ἀλλά δόλῳ θήρειον ἀφάρπασεν αὐχένα κούρης,
ἦκα μάλ᾽ ἐξόπιθεν γαμψώνυχον οὐ προϊδούσης
ἀμφιβαλών ἅρπην Κυλληνίδα λευκανίῃσιν.
τῆς δ᾽ ἄρα καί φθιμένης περ ὀλέθριος ἔσκεν ὀπωπή,
καί στυγεροῦ Κρονίδαο μολεῖν ὑπό δῶμα κελαινόν πολλοῖς αἴσιμον ἔπλετ᾽
ἐναιρομένοις ὑπό νεκρῆς.
ἀλλά τότ᾽ αἰγιαλόνδε φόνῳ

στίχοι 541-569

στέκονται πεθαμένοι ἀπό μοῖραν λιθίνην (ἀπολιθώνονται).

Αὐτήν (τήν Γοργόνα) οὔτε ἡ εὐρύστηθη Ἀτρυτώνη
εἶχε τήν διάθεσιν νά τήν βλέπῃ, καίτοι βέβαια ἦτο ἀτρόμητος, οὔτε παρώτρυνε τόν ἀδελφόν της, ἕνα ἰσχυρόκαρδον ἄνδρα, τόν χρυσοπατέρα Περσέα νά ἴδῃ αὐτήν, καίτοι ἐφονεύθη, ἀλλά μέ δόλον ἀπέκοψε τόν θηριώδη αὐχένα τῆς κόρης, ἡ ὁποία δέν τόν εἶδε προηγουμένως,
ἀφοῦ πολύ ἡσύχως ἐκ τῶν ὄπισθεν περιέβαλε τόν λαιμόν της μέ ἕνα γαμψώνυχον Κυλλήνιον δρέπανον.

Αὐτῆς λοιπόν, καί ὅταν ἀκόμη ἦτο σκοτωμένη, ἡ ὄψις ἦτο καταστρεπτική, (φρικτή, φοβερή),
καί ἦτο πεπρωμένον νά κατέβουν εἰς τό μαῦρο σπίτι τοῦ μισητοῦ Κρονίδου (τοῦ Πλούτωνος) πολλοί ἄνθρωποι, πού ἐφονεύοντο ἀπό μίαν νεκράν (εἰς τόν Ἅδην).

πεπαλαγμένος ἥρως
ἐλθών, εἰσόκε λύθρον ἀποπλύνειε θαλάσσῃ,
θερμήν ἐξ ὁμάδου κεφαλήν ἔτι καί τρομέουσαν
Γοργείην κατέθηκεν ἐπί χλοεραῖς βοτάνῃσιν.
ὄφρα δ' ὅγ' ἐν δίνῃσιν ἀναψύχεσκε φίλον κῆρ,
στείχων ἔκ τ' ὀλοοῖο πόντου, δολιχῆς τε κελεύθου,
τόφρα δέ πορφυρέοιο διαινόμενοι κορέσαντο
αἵματος, οἵ ρα κέχυντο χαμαί ὑπό κράατι θάμνοι
ἀμφί δ' ἄρα σφίσιν αἶψα θοαί πόντοιο θύγατρες
λύθρον ἐπεσσύμεναι θάμνοις περιπήγνυον αὖραι,
πήγνυον, ὥς τέ σε πάγχυ λίθον στερεήν ὀΐσασθαι·
οὐδέ τ'. ἔην ὀΐσασθαι, ἐπεί στερεή λίθος ἦεν.
ἐκ δ' ὄλεσεν βοτάνης ὑγρόν δέμας· ἀλλά καί ἔμπη
ὀλλυμένης πάμπαν βοτάνης οὐκ ὤλεσεν εἶδος.
τήν μέν ἄρα χροίην ἐξ αἵματος ἔσχεν ἐρυθρήν.
ἀμφασίη δ' ἥρωα λάβεν θρασύν, ὡς ἐνόησεν
ἐξαπίνης μέγα θαῦμα· τό καί πέλας αἶψα κιοῦσα
Διογενής πολύμητις ἐθαύμασεν 'Οβριμοπάτρη.

'Αλλά τότε ὁ ἥρως, ραντισμένος καθώς ἦτο ἀπό τό αἷμα, ἀφοῦ κατῆλθεν εἰς τόν αἰγιαλόν, ἕως ὅτου ἀποπλύνῃ τόν ρύπον τοῦ αἵματος εἰς τήν θάλασσαν καί ἐνῶ τό κεφάλι τῆς Γοργόνας ἦτο ἀκόμη θερμόν ἀπό τόν θόρυβον τῆς πάλης καί ἔτρεμε, τό ἐτοποθέτησε ἐπάνω σέ χλωρές βοτάνες.

'Εφ' ὅσον δέ αὐτός ἐδρόσιζε τήν ἀγαπητή του καρδιά στούς νεροστρόβιλους,
κουρασμένος ἀπό τόν ἀγῶνα, ἀπό τήν προσπάθειαν καί ἀπό τήν μακράν ὁδοιπορίαν,
ἐπί τόσον δέ χρόνον βρεχόμενοι ἐχόρτασαν ἀπό τό ἐρυθρόν αἷμα οἱ θάμνοι, οἱ ὁποῖοι ἦσαν διασκορπισμένοι εἰς τήν γῆν κάτω ἀπό τό κεφάλι τῆς Μέδουσας, γύρω ἀπ' αὐτούς, ἐπερχόμεναι ταχέως πρός τούς θάμνους αἱ αὖραι, αἱ γρήγορες θυγατέρες τῆς θαλάσσης, ἔπηζαν τό λύθρον (τό αἷμα)
καί τό ἔπηζαν τόσον, ὥστε σύ νά νομίσῃς ὅτι εἶναι παντελῶς στερεά πέτρα·
οὔτε ἦτο δυνατόν νά νομίσῃς, ὅτι ἦτο αἷμα, διότι πράγματι ἦτο στερεά πέτρα.

Καί ἔχασε τό ὑγρόν σῶμα τῆς βοτάνης· ἀλλά καί ἔτσι κατά κάποιον τρόπον, ἄν καί ἡ βοτάνη κατεστράφη ἐξ ὁλοκλήρου, ὅμως δέν ἔχασε τήν μορφήν της (τήν μορφήν τῆς βοτάνης).

Τό μέν χρῶμά της ἦτο βεβαίως ἐρυθρόν ἀπό τό αἷμα,
τόν τολμηρόν ὅμως ἥρωα κατέλαβεν ἀφασία, καθώς ξαφνικά ἀντελήφθη τό μέγα θαῦμα· τοῦτο ἐθαύμασε καί ἡ Διογέννητη πολυμήχανος 'Ο β ρ ι μ ο π ά τ ρ η, ὅταν ταχέως ἦλθε πλησίον.

στίχοι 570-597

θῆκε δ', ἀδελφειοῦ κλέος ἄφθιτον ὡς κε πέλοιτο,
αἰεί κουράλιον προτέρην φύσιν ἀλλάσσεσθαι.
ἔν δέ βίην οἱ δῶκεν ἀπειρεσίην 'Αγελείη,
φῆλα φυλασσέμεναι κρυερήν εἰς φύξιν ἰόντα,
ἤ δολιχήν ἕρπων ἐς ἀταρπιτόν εἶ μιν ἔχοι τις,
ἤ περόων ἅλα δῖαν ἐϋσσέλμῳ ἐνί νηΐ.
καί γάρ 'Ενυαλίοιο θοόν δόρυ μαινομένοιο,

στίχοι 570-597

Καθώρισε δέ αὐτή (ἡ Τριτογένεια) νά ἀλλάσσῃ πάντοτε ἡ προηγουμένη φύσις τοῦ κοραλίου, ὥστε νά εἶναι τοῦτο ἀθάνατος δόξα τοῦ ἀδελφοῦ της.

Τοῦ ἔδωσεν ἐπίσης (τοῦ λίθου) ἡ 'Αγελαία ἀπέραντον δύναμιν,διά νά διαφυλάσσῃ πλήθη, ὅταν πηγαίνουν εἰς ψυχρόν καταφύγιον,
ἤ ἐάν ἔχῃ κανείς αὐτόν (τόν λίθον) βαδίζων εἰς μακράν πορείαν, ἤ διαπερῶν τήν θεϊκήν θάλασσαν ἐπάνω σέ καλοφτιασμένο καράβι.

'Επίσης τό καλόν κοράλιον ἔδωσεν εἰς τούς ἀνθρώπους τήν δύναμιν
νά ἀποφεύγουν τό ταχύ δόρυ (τάς τρικυμίας)

καί λόχον ἀνδροφόνων φεύγειν ἀπό λῃϊστήρων,
καί πολιόν Νηρῆα κυκώμενον ἐξυπαλύξαι
ἐσθλή κουραλίοιο βίη θνητοῖσιν ὀπάσσαι.
γλυκήν δ᾽ ἐγρεκύδοιμον ἀταρβέα Τριτογένειαν
σφωϊτέρων καμάτων ἐπαμύντορα κικλήσκουσιν.
φάρμακα δ᾽ ὅσσα πέλονται ἀτάσθαλα, καί κατάδεσμοι,
ἀραί τ᾽ ἀγνάμπτοισιν Ἐριννύσι πάγχυ μέλουσαι,
εἴτε μύσος κεύθων οἰκοφθόρον οὐκ ἐνόησεν
ἀνήρ, εἴθ᾽ ὅσα λύματ᾽ ἐπί σφίσιν ἠδ᾽ ἐπαοιδάς
σχέτλιοι ἀλλήλοισι μεγαίροντες τελέουσιν,
πάντων ἀντίλυτρον δήεις κρατερώτατον εἶναι.
κύψας δέ σπεῖρον ξανθῇ Δημήτερι μίσγων·
καί τοι λοιγόν ἅπαντα τεῆς ἀπάτερθεν ἀρούρης,
αὐχμούς τ᾽ ἐξελάσει σταχύων γλάγος ἐκπίνοντας·
ἀτηρήν τε χάλαζαν, ἀπειρεσίοισι βελέμνοις
ἀγρῷ τραῦμα φέρουσαν ἀμήχανον ἐξακέσασθαι.
βρωτήρων τ᾽ ἐπί τοῖσι γένος πάντων ἀλαπάζει,
εὐλάς τε, κάμπας τε, καί αἰθερίην ἐρυσίβην,
ἤτε κατ᾽ οὐρανόθεν πταμένη ποτί καρπόν ἐρυθρή,
ἀμφί περί σταχύεσι περισμύχουσα κάθηται.
ἔκ τε μυῶν ἀγέλας, ἔκ τ᾽ ἀκρίδος ἄπλετον ἔθνος

στίχοι 598-626

ραίσει, καί Κρονίδαο παραΐσσουσι κεραυνοί,
παιδός ἑοῦ κλέος οὔτοι ἐτώσιον ἀζομένοιο.
κεῖνο πολύ πρώτιστον ἀνερχόμενος περάτηθεν
κουράλιον θνητοῖσι φέρων πόρεν Ἀργειφόντης.

τοῦ μανιακοῦ Ἐνυαλίου (Ποσειδῶνος) καί συμμορίαν λῃστῶν ἀνθρωποκτόνων,
καί νά ξεφεύγουν ἀπό τόν πολιόν Νηρέα, ὅταν ἀναταράσσεται. Τήν γλαυκήν (γαλανήν) δέ Τριτογένειαν, τήν ἄφοβον, πού διεγείρει τόν θόρυβον τῆς μάχης,
τήν προσκαλοῦν ὡς βοηθόν τῶν ἰδικῶν των κόπων.

Ὅσα δέ φάρμακα εἶναι ἐπιβλαβῆ καί οἱ μαγικοί δεσμοί καί αἱ κατάραι, διά τάς ὁποίας φροντίζουν πολύ αἱ ἀκαμπτοι Ἐριννύες, εἴτε κάποιο μίασμα, καταστρεπτικόν τοῦ σπιτιοῦ, πού δέν ἀντελήφθη ὅτι τό ἔκρυβε κάποιος ἄνθρωπος,
εἴτε ἐκτός αὐτῶν ὅσαι ἀκαθαρσίαι καί μαγικά ἄσματα ἐκτελοῦν μεταξύ των ἐκ φθόνου οἱ ἄθλιοι,
ὅλων τούτων θά μάθῃς ὅτι τό κοράλιον εἶναι ἰσχυρότατον ἀντίδοτον φάρμακον.

Ἀφοῦ δέ τό κόψῃς (τό κάμῃς κομμάτια), σπεῖρέ το ἀναμειγνύων αὐτό μέ τήν ξανθήν Δήμητρα (τό ξανθό σιτάρι)·

καί βεβαίως πᾶσαν καταστροφήν θά ἀποδιώξῃ μακράν ἀπό τήν ἰδικήν σου καλλιεργήσιμον γῆν,
καί θά ἀποδιώξῃ ἐπίσης τίς ξηρασίες, πού ἀπορροφοῦν τό γάλα ἀπό τά στάχυα·
ἀκόμη καί τό καταστρεπτικό χαλάζι, τό ὁποῖον μέ τά ἀπειράριθμα βέλη του προξενεῖ τραύματα εἰς τόν ἀγρόν, πού εἶναι δύσκολον νά θεραπευθῇ·
ἐπίσης (τό κοράλιον) καταστρέφει τό γένος (τήν γενεάν) ὅλων ἐκείνων, πού κατατρώγουν τούς καρπούς,
δηλαδή τά σκουλήκια, τίς κάμπιες καί τήν εὑρισκομένην εἰς τόν αἰθέρα ἐρυσίβην,
ἡ ὁποία πετῶσα ἀπό τόν οὐρανόν μέ τό ἐρυθρόν της χρῶμα κάτω πρός τούς καρπούς κάθεται γύρω ἀπό τά στάχυα καί τά καταστρέφει.

Θά καταστρέψῃ ἀκόμη τά κοπάδια τῶν ποντικῶν καί τά ἀναρίθμητα πλήθη τῶν ἀκρίδων, καί θά περάσουν ὁρμητικῶς

στίχοι 598-626

οἱ κεραυνοί τοῦ Κρονίδου (τοῦ υἱοῦ τοῦ Κρόνου) (δηλαδή, σέ προστατεύει καί ἀπό τόν κεραυνόν τοῦ Διός)
ἐπειδή ὄχι ἐπί ματαίῳ σέβεται τήν δόξαν τοῦ ἰδικοῦ του παιδιοῦ. Ἐκεῖνο τό κοράλιον ἀνερχόμενος ὁ Ἀργειφόντης ἀπό τό παραπέρα μέρος, μεταφέρων αὐτό, τό προσεπόρισεν εἰς

τύνη δ' ἀκρήτοιο μετ' οἴνου πινέμεν αἰεί
μέμνεο, πευκεδανοῦ ἕνεκ' ἀσπίδος, ὥσπερ ἔειπον.
Καί πολυειδέα πῖνε μετ' ἀκρήτου Βρομίοιο,
μορφήν παντοίην ἐπιειμένον, ἐσθλόν ἀχάτην.
πολλά μέν οὖν ρέα γ' ἐστίν ἀχάτου χρώματ' ἰδέσθαι·
ἐν γάρ οἱ δήεις ὀρόων ὑάλωσιν ἴασπιν,
σάρδιά θ' αἱματόεντα, καί αἰγλήεντα μάραγδον.
ἐν δ' ὄγε μιλτοπάρῃος· ἀτάρ καί χαλκόν ἐν αὐτῷ
δήεις, καί χροιήν ἐαροτρεφέος μήλοιο.
ἀλλ' οἷος πάντων προφερέστατος, εἴ κέ μιν εὕρῃς
εἶδος ἔχοντα δαφοινόν ἀμαιμακέτοιο λέοντος·
τῷ καί μιν προτέρσισι λεοντοδέρην ὀνομῆναι
ἤνδανεν ἡμιθέοισι, κατάστικτον σπιλάδεσσιν
πυρσῇσιν, λευκαῖς τε, μελαινομέναις, χλοεραῖς τε.
τόν δ', εἰ σκορπείην ὀλοφυρόμενός τις ἀκωκήν
ἔλθοι, ἀερτάζειν περί ἕλκεϊ κέκλεο λυγρῷ,
ἤ ἔπι οἱ πάσσειν· ἄπο γάρ μινύθουσιν ἀνίαι.
ἰμερτόν τε γυναιξί δυνήσεαι ἀνέρα θεῖναι,
καί θέλξεις μύθοισι βροτούς, καί πάντα κομίζων,
ὅσσα κεν αἰτήσειας, ἀφίξεαι οἴκαδε χαίρων.
καί νούσῳ κάμνοντα σαωθῆναι θέμις ἐστίν,
ὅς μιν ἑνί σφετέρῃσι λαβών χείρεσσι κατάσχοι·
εἰ δέ Ζεύς τοι τόν γε βιωσέμεν ἀρνήσαιτο,
ἀλλά νόει σύ τεῇσιν ἐνί φρεσίν, οὕνεκεν αὐτῷ
τούς ἀνθρώπους πολύ περισσότερον ἀπό κάθε ἄλλο (πρό παντός ἄλλου). Σύ δέ νά ἐνθυμῆσαι νά τό πίνης πάντοτε μέ ἄκρατο (ἀνέρωτο) κρασί γιά τήν πικρή ἀσπίδα, καθώς βέβαια σοῦ εἶπα.
Ἐπίσης νά πίνης μέ ἄκρατο κρασί καί τόν πολύμορφον, τόν καλόν ἀχάτην, π ο ύ ν τ ύ ν ε τ α ι μ έ π α ν τ ό ς εἴδους μορφήν (πού ἔχει πολλά χρώματα καί ἔτσι εἶναι πράγματι, διότι ὁ ἀχάτης ἔχει ὅλας τάς ἀποχρώσεις). Πολλά μέν λοιπόν εἶναι δυνατόν νά ἴδῃς εὐκόλως χρώματα τοῦ ἀχάτου (λευκόν, ἐρυθρόν, μπλέ, πράσινον, βιολέ)·
διότι βλέπων ἐντός αὐτοῦ εὑρίσκεις τόν κρυσταλλώδη ἴασπιν, καί τό αἱματόχρουν σάρδιον καί τόν λαμποκοποῦντα σ μ ά ρ α γ δ ο ν (εἶδος ἀχάτου πρασίνου καί ὄχι πραγματικοῦ σμαραγδιοῦ, πού εἶναι βήρρυλος, δηλαδή ἄλλη πέτρα),
ἐντός δέ εὑρίσκεται αὐτός μέ ἐρυθράς παρειάς· ἀλλά καί χαλκόν εὑρίσκεις ἐντός αὐτοῦ, ἐπίσης καί τό χρῶμα τοῦ ἐαροθρεμμένου μήλου (κόκκινο ἤ ρόζ).
Ἀλλά μόνον αὐτός εἶναι ἐξ ὅλων ὁ περισσότερον ὑπέροχος, ἐάν τόν εὕρῃς,
διότι ἔχει τήν ἐρυθράν μορφήν τοῦ ἀκαταμάχητου λέοντος (ἡ κορναλίνη)· διά τοῦτο καί εἰς τούς παλαιοτέρους ἡμιθέους ἄρεσε νά τόν ὀνομάζουν λεοντοτράχηλον, καθώς εἶναι κατάστικτος ἀπό πλάκες ξανθοκόκκινες, λευκές, μαυριδερές καί πράσινες, (ὁ ἀχάτης πράγματι, ὡρισμένης κατηγορίας, ἔχει ὡραιοτάτας ραβδώσεις ἐπί λευκοῦ, ἤ μαύρου, ἤ κιτρίνου, ἤ κόκκινου φόντου καί ἔχει διαφόρους ὀνομασίας εἰς τό ἐμπόριον). Τοῦτον τό λίθον, ἐάν ἔλθῃ κανείς ὀδυρόμενος διά τό δάγκωμα ἀπό σκορπιόν, δῶσε ἐντολήν νά τόν τρίψῃ γύρω ἀπό τήν ὀλεθρίαν πληγήν,
ἤ νά πασπαλίζῃ μέ αὐτόν τήν πληγήν· διότι ἔτσι οἱ πόνοι του περικόπτονται (σταματοῦν).
Θά ἠμπορέσῃς ἐπίσης νά δώσῃς εἰς τάς γυναῖκας περιπόθητον ἄνδρα,
καί θά μαγεύσῃς μέ τά λόγια σου τούς ἀνθρώπους, καί μεταφέρων τά πάντα, ὅσα βέβαια θά ἐζητοῦσες, θά φθάσῃς εἰς τό σπίτι σου χαρούμενος (θά ἐπιτυγχάνῃς στίς δουλειές σου). Καί εἶναι βέβαιον ὅτι ὁ ὑποφέρων ἀπό κάποιο νόσημο θά σωθῇ (θά θεραπευθῇ) ὅταν αὐτός κρατῇ στά χέρια του αὐτόν τόν λίθον.
Ἐάν ὅμως ὁ Ζεύς ἀρνηθῇ εἰς αὐτόν νά ζήσῃ,
τότε νά καταλάβῃς μέ τό μυαλό σου, ὅτι εἰς αὐτόν
ἔκοψε ἡ Κλωθώ τήν κλωστήν (τό νῆμα τῆς ζωῆς)·

ρῆξε λίνον Κλωθώ· τῷ δ᾽ ἔρχεται ὕστατον ἦμαρ.

στίχοι 627-655.

εἰ δέ πυριφλεγέθων ἑτερήμερος ἄνδρα θαμίζων
ἤ κρυερός μάρπτων πυρετός παρενήνοθε γυίοις,
ἠέ τεταρταίης πῆμα βραδύ, μήποτε λήγειν
βουλομένης, ἀλλ᾽ αἰέν, ὅπη πελάσῃσι, μενούσης,
τόν σύ γ᾽ ἰήσασθαι δ᾽ ἀμύμονος αὐτίκ᾽ ἀχάτου.
οὗτος γάρ προτέρων πολύ φέρτερος. αἶψα δέ σῆμα
ἐξερέω, τό περ ὧκα βίην δείκνυσι λίθοιο.
ἐν γάρ μιν κρεάεσσι βαλών μέσον ἐψομένοισιν,
τυτθόν ἀνασχέσθαι· τά δέ τήκεται ἔνδοθι πάντα.

Οὐ μέν τοι καί τόνδε γ᾽ ἐφ᾽ ἑρπετά φημί δύνασθαι·
ἀλλ᾽ ἕτερον δώσω χατέοντί τοι ἰητῆρα
οὐρανόθεν γεγαῶτα· σύ δ᾽ ἐν φρεσί βάλλεο σῇσιν.
εὖτε γάρ αἰγλῆεν σφέτερον δέμας εὐρύστερνος
οὐρανός, ὠμηστῆρος ὑπαί παλάμῃσι Κρόνοιο
δηωθείς, εἴλειξεν ἀπειρεσίην ἐπί γαῖαν,
αἰθέρος ἐκ δίης πεσέειν οὐδάσδε μενοινῶν,
ὄφρα κε πάντ᾽ ἀΐδηλα, πολύτριχον ἀμφιπετάσσας
νῶτον ἑόν, τεύξῃ, μηδ᾽ Οὐρανοῦ ἀστερόεντος
θυμόν ἀνιήσας Κρόνος οὐρανόν εἰσέτι ναίῃ·
δή τότ᾽ ἀπ᾽ ἀμβροσίοιο κατειβόμεναι φορέοντο
αἵματος ὠτειλῆθεν ἐπί τραφερήν ραθάμιγγες,
τάς οὐ μόρσιμον ἦεν ἀπ᾽ ἀθανάτοιο κιούσας
σώματος ὄλλυσθαι· μενέμεν δ᾽ ἐριβώλακι Μοῖραι
ἐν γαίῃ προγόνοιο θεῶν σόον αἷμα κέλοντο.

καί εἰς αὐτόν ἐπέρχεται ἡ τελευταία ἡμέρα (τοῦ βίου του).

στίχοι 627-655

Ἐάν δέ πυριφλεγής πυρετός (πυρετός καίων ὡσάν τό πῦρ), ἐρχόμενος ἡμέραν παρ᾽ ἡμέραν (μέρα παρά μέρα)
ἤ ψυχρός πυρετός πιάσῃ κάποιον ἄνθρωπον καί κατέχῃ τά μέλη τοῦ σώματός του,
ἤ κάποιο βραδύ πάθημα ἀπό νόσον, πού ἔρχεται κάθε τέσσερες ἡμέρες, καί ἡ ὁποία οὐδέποτε θέλει νά τελειώσῃ (νά λήξῃ) ἀλλά πάντοτε, ὅπου πλησιάσει, παραμένει,
τοῦτον ἐσύ τόν ἀσθενῆ θά ἠμπορέσῃς νά θεραπεύσῃς ἀμέσως μέ τόν ἔξοχον ἀχάτην.

Διότι αὐτός ὁ λίθος εἶναι πολύ ἀνώτερος ἀπό τούς προηγουμένους· ἀμέσως δέ θά σοῦ εἴπω τό σημεῖον (θά σοῦ δώσω τήν ἀπόδειξιν) τό ὁποῖον ἀποδεικνύει ταχέως τήν δύναμιν αὐτοῦ τοῦ λίθου.

Ἐάν δηλαδή βάλῃς αὐτόν εἰς τό μέσον κρεάτων, τά ὁποῖα βράζουν,
ἐπί ὀλίγον θά ὑψωθοῦν· αὐτά δέ ὅλα λυώνουν ἀπό μέσα.

Δέν λέγω βέβαια ὅτι καί αὐτός ὁ λίθος ἔχει τήν δύναμιν ἐναντίον τῶν ἑρπετῶν·
ἀλλά θά σοῦ δώσω, ἐάν ἔχῃς ἀνάγκην, κάποιον ἄλλον ἰατρόν, ὁ ὁποῖος ἐγεννήθη ἐκ τοῦ οὐρανοῦ· σύ δέ σκέψου αὐτά (πού θά σοῦ πῶ).

Ὅταν δηλαδή ὁ εὐρύστερνος οὐρανός, ἀφοῦ ἐπληγώθη ἀπό τά χέρια τοῦ ὠμοφάγου Κρόνου, περιέστρεψε τό ἰδικόν του λαμπερόν σῶμα ἐπάνω ἀπό τήν ἀπέραντον γῆν, ἐπειδή ἐπεθύμει νά πέσῃ ἀπό τόν θεϊκόν αἰθέρα εἰς τό ἔδαφος, διά νά τά κάμῃ ὅλα σκοτεινά, ἀφοῦ ἀνοίξει γύρω τό ἰδικόν του πολύτριχον νῶτον, μήτε νά κατοικῇ ἀκόμη εἰς τόν οὐρανόν ὁ Κρόνος, ἐπειδή ἐπροξένησε λύπην εἰς τόν ἀστερόεντα Οὐρανόν,
τότε ἀκριβῶς ἐφέροντο (ἔπιπτον) εἰς τήν γῆν σταγόνες ἀπό τήν πληγήν (τοῦ οὐρανοῦ), πού ἐχύνοντο ἀπό τό ἀθάνατον αἷμα· αὐταί ὅμως αἱ

σταγόνες, ἐπειδή προήρχοντο ἀπό ἀθάνατον σῶμα, δέν ἦτο πεπρωμένον νά καταστρέφωνται·
αἱ δέ Μοῖραι ἔδωσαν ἐντολήν νά παραμένῃ σῶον (ἀβλαβές) εἰς τήν εὔφορον γῆν τό αἷμα τοῦ προγόνου τῶν θεῶν.

μεῖνε μέν οὖν, αὖον δέ πυρίγληνοι θέσαν ἵπποι
Ἠελίου. καί κέν τις ἐπιψαύων ἐρίσειεν
λᾶαν ἔχειν ἑνί χερσίν, ἔχοι δέ κεν αἷμα πεπηγός.
ἔν γάρ δή χρώς αὐτός ἐπήτυμος αἵματός ἐστιν,
ἐν δέ καί ὕδατι ρεῖα δαμασθείς ἀτρεκές αἷμα

στίχοι 656-684

γίγνεται· αἱματόεις δέ καί οὔνομα λᾶας ἔτ' ἀνδρῶν
ἐκ προτέρων κέκληται, ἀκήρατα δ' οὔνεκ' ἔοικεν
φάρμακ' ἔχειν, νημερτές ἀπόρροιάν μιν ἀοιδοί
οὐρανίην καλέουσιν ἐς ἀνθρώπους ἀφικέσθαι.
οὐ γάρ ὄγ' οὔτε νέην ἐθέλει θνητοῖσιν ὀΐζύν
ἔρχεσθαι προτί ὅσσε, παλαιοτέρην τ' ἀπερύκει,
μιγνύμενος λευκοῖο μετά γλάγεος· κεράσας δέ
ἰχῶρι σφετέρῳ, μέλιτι γλυκερῷ τε διάνας,
ἐκ βλεφάρων ἄπο πᾶσιν ἄγεις νόσον. ἀσχαλάᾳ γάρ
εἴργεσθαι θνητούς ὁράαν ἐρατεινά πρόσωπα
πρεσβυτάτου μακάρων στροβελοβλεφάρου βασιλῆος.
καί γλήνῃσι τεῇσιν, ὁμιλήσας κυλίκεσσιν,
ἀνδρός τ' αἰδοίων ἄκος ἔσσεται, ὅς τε πίῃσιν.
καί μιν ἐγών Αἴαντι δαΐφρονι πόλλ' ἐπέτελλον,
ἔντεσι δηρινθῆναι ἀμύμονος ἀμφ' Ἀχιλῆος
ἐσσυμένῳ, νίκης ἐπαρηγόνα χερσί κομίζειν.
καί κεν Ὀδυσσῆος ταλασίφρονος ἀντίον, αὐτῷ
κῦδος Ἀθηναίη περσέπτολις ἐγγυάλιξεν·
ἀλλ' οὔ οἱ μοῖρ' ἔσκε παραιφαμένοιο πιθέσθαι.
οὕνεκα θεσπεσίοιο λίθου ἀθέριξεν ὄνειαρ,

Καί ἔμεινε πράγματι σῶον, οἱ δέ ἵπποι τοῦ Ἡλίου, πού ἔχουν πύρινα (φλογερά) μάτια, τό κατέστησαν ξηρόν· καί ἐάν κανείς τό ἐγγίζη, θά φιλονικοῦσε ὅτι ἔχει (κρατεῖ) στά χέρια του λίθον, ἐνῶ πράγματι κρατεῖ αἷμα πηγμένο.

στίχοι 656-684

Διότι αὐτό τό χρῶμά του εἶναι ἀληθινά τό χρῶμα τοῦ αἵματος, ἐάν δέ τιθασευθῆ (λυώση) ἐντός ὕδατος, εὐκόλως γίνεται πραγματικόν αἷμα· ἔχει δέ ὀνομασθῆ ἀκόμη ἀπό τούς παλαιοτέρους ἀνθρώπους αἱματόχρους λίθος, διότι φαίνεται ὅτι ἔχει καθαρά φάρμακα, ἀληθῶς δέ λέγουν οἱ ἀοιδοί, ὅτι αὐτός ὁ λίθος ἔφθασεν εἰς τούς ἀνθρώπους ὡς οὐρανία ἀπόρροια (ὡς ἀπορροή ἐξ οὐρανοῦ). Διότι αὐτός δέν θέλει οὔτε κάποια νέα κακοπάθεια (ἀσθένεια) νά ἔρχεται εἰς τά μάτια τῶν ἀνθρώπων, ἐξ ἄλλου καί τήν παλαιάν τήν ἀπομακρύνει,
ὅταν ἀναμειγνύεται μέ τό λευκόν γάλα· ὅταν δέ τόν ἀναμείξης μέ τόν ἰδικόν του ἰχῶρα καί τόν βρέξης μέ γλυκό μέλι,
ἀποδιώκεις ἀπό τά βλέφαρα (τά μάτια) ὁποιοδήποτε νόσημα· διότι λυπεῖται νά ἐμποδίζωνται οἱ ἄνθρωποι νά βλέπουν τά ἐπέραστα (τά ἀγαπημένα) πρόσωπα τοῦ πρεσβυτάτου βασιλέως τῶν θεῶν, πού περιστρέφει τά βλέφαρά του (τοῦ θεοῦ Οὐρανοῦ).

Καί ἐάν ἀναμειχθῆ εἰς τά ποτήρια μέ τίς δικές σου κηρῆθρες, τοῦτο τό μεῖγμα θά εἶναι φάρμακον θεραπευτικόν τῶν αἰδοίων (τῶν γεννητικῶν ὀργάνων) τοῦ ἀνδρός, ὁ ὁποῖος θά ἔπινε ἀπ' αὐτό.

Καί εἰς τόν Αἴαντα τόν φιλοπόλεμον, ἐνῶ ἔσπευδε μέ τήν πανοπλίαν του νά πολεμήση πρός τόν ἔξοχον Ἀχιλλέα, παρήγγειλα ἐγώ λέγων εἰς αὐτόν πολλά, νά μεταφέρη στά χέρια του τοῦτον τόν λίθον ὡς βοηθόν του πρός κατάκτησιν τῆς νίκης.

Καί εἰς αὐτόν βεβαίως, ἐναντίον τοῦ καρτερόψυχου Ὀδυσσέως, θά ἐνεχείριζε τήν δόξαν ἡ Ἀθηνᾶ, πού καταστρέφει τάς πόλεις· ἀλλά δέν τό εἶχε ἡ μοῖρά του νά πεισθῆ (εἰς τά λόγια μου), καίτοι τόν συνεβούλευα,
διά τοῦτο κατεφρόνησε τήν ὠφέλειαν, πού θά τοῦ ἐξησφάλιζεν ὁ ἐξαίσιος λίθος,

λάζετο δ᾽ οὐλοόν ἄορ. ἀτάρ σύ γε τοῖο μέν αἶσαν
ἄζεο, πρός δέ μέλαιναν ὀλισθηροῖο γενέθλην
ἑρπετοῦ αἱματόεντα δαείς λίθον, αἰέν ἑταίρους
πινέμεναι νύμφαις ἐνί νηϊάδεσσι κέλευε.
καί μέν ἐγώ λαιψηρόν ἐμόν θεράποντα Δόλωνα
αὐτοκασιγνήτῳ μεμαώς φίλον Ἕκτορι θεῖναι,
πρόφρων ὥπασα λᾶαν Ὀλύμπιον αἰτήσαντι·
αὐτάρ ὅγ᾽ ἐξαπίνης Τρώων προπάροιθεν ἁπάντων
Ἕκτορι Πριαμίδῃ κεχαρισμένος ἔπλεθ᾽ ἑταῖρος.

στίχοι 685-713

τοῖο δ᾽ ἔκητί μ᾽ ἐκεῖνος ἀμοιβήδην ἀρέσασθαι
ἱέμενος, Λιπαραῖον ἐπίκλησιν παρά πατρός
ὥπασεν ἀφνειοῖο λαβών λίθον, ὅν ποτ᾽ ἄρ᾽ αὐτός
ἐλθών Ἰλιόθεν κρατερόν μετά Μέμνονα κήρυξ,
σήματ᾽ ἐμεῖο πορόντος ἀνευρών, Ἀσσυρίηθεν
χρυσοῦ τιμήεντος ἀρείονα δεῦρο κόμισσεν,
μυρία κεῖθι μάγοισι πορών πολυΐδμοσι δῶρα.
εἰ δ᾽ ἄγε δέχνυσο μῦθον· ἐγώ δ᾽ ἐδάην, τά κε λέξω.
Πρῶτα οὖν σπένδοντας ἀναιμάκτων ἐπί βωμῶν,
(οὐ γάρ ἄγειν θέμις ἐστί θυηλήν ἐμψύχοιο)
ἦλιον εὐρύοπα κλῄζειν ὕμνοισιν ἄνωγα,
καί χθόνα πίειραν, πάντων τροφόν οὐθατόεσσαν.
δεύτερον αὖτ᾽ αἴθωνος ὑπέρ-λίθον Ἡφαίστοιο
τῆκειν, ἠδείῃ ταναούς θέλγοντα δράκοντας
ὀδμῇ, τήν ἄρα κεῖνοι ἀνερχομένην ἐσορῶντες,
σπερχόμενοι ποτί βωμόν, ἀολλέες ἐκπρομολόντες
καί ἔλαβε στά χέρια του τό καταστρεπτικόν ξίφος. Ἀλλά σύ τήν μοῖραν μέν αὐτοῦ νά σέβεσαι, ἀφοῦ ὅμως ἔμαθες διά τόν ἐκ τοῦ αἵματος προελθόντα λίθον ἐν σχέσει πρός τήν μαύρην γενεάν τοῦ γλιστεροῦ ἑρπετοῦ (τῶν φιδιῶν), παρακέλευε (συμβούλευε) πάντοτε τούς συντρόφους σου νά τόν πίνουν εἰς τάς ναϊάδας νύμφας (εἰς τά νερά τῶν ποταμῶν καί τῶν πηγῶν).

Καί ἐγώ ὁ ἴδιος, ἐπειδή ἐπεθύμουν νά καταστήσω φίλον (ἀγαπητόν) τόν ἰδικόν μου ταχύν ὑπηρέτην, τόν Δόλωνα, εἰς τόν ἀδελφόν μου Ἕκτορα προθύμως, ἀφοῦ μοῦ τόν ἐζήτησε, τοῦ ἔδωσα τόν Ὀλύμπιον (τόν θεϊκόν) λίθον·
οὗτος δέ ξαφνικά ἐμπρός εἰς ὅλους τούς Τρῶας ἔγινε εὐάρεστος σύντροφος τοῦ υἱοῦ τοῦ Πριάμου Ἕκτορος.

στίχοι 685-713

Διά τοῦτον τόν λόγον ἐκεῖνος, ἐπειδή ἐπεθύμει νά φανῇ ἀμοιβαίως εὐάρεστος εἰς ἐμέ, μοῦ ἔδωσε, ἀφοῦ τόν ἔλαβε ἀπό τόν πλούσιον πατέρα του, ἕνα λίθον ἐπονομαζόμενον Λιπαραῖον, τόν ὁποῖον κάποτε αὐτός μεταβάς ἀπό τό Ἴλιον ὡς κῆρυξ εἰς τόν ἰσχυρόν Μέμνονα, ἀφοῦ ἀνεῦρε τά σημεῖα, τά ὁποῖα προσεπόρισα ἐγώ, μετέφερεν ἀπό τήν Ἀσσυρίαν ἐδῶ ἀνώτερον ἀπό τόν πολύτιμον χρυσόν, ἀφοῦ ἐκεῖ προσεπόρισε εἰς τούς πολυμαθεῖς μάγους ἀναρίθμητα δῶρα.

Ἐμπρός ἄκουσε τόν λόγον· ἐγώ δέ ἔμαθα ὅσα θά εἴπω.

Κατά πρῶτον μέν λοιπόν προτρέπω τούς προσφέροντας σπονδάς ἐπάνω εἰς βωμούς χωρίς αἵματα - διότι δέν εἶναι ἐπιτρεπτόν νά προσφέρουν θυσίαν ἐμψύχου ζώου - νά ἐγκωμιάζουν μέ ὕμνους τόν ἥλιον, ὁ ὁποῖος βλέπει εἰς εὐρεῖαν ἔκτασιν,
καί τήν παχεῖαν γῆν, ἡ ὁποία εἶναι γόνιμος τροφός ὅλων.

Ἐκ δευτέρου πάλιν νά λυώνουν τόν λίθον ὑπεράνω ἀπό τόν καίοντα Ἥφαιστον (ἐπάνω ἀπό τήν ἀναμμένη φωτιά), πού μαγεύει μέ τήν γλυκειά ὀσμή του, τούς μακρούς δράκοντας, ὅταν δέ ἐκεῖνοι ἔβλεπαν αὐτήν νά ἀνέρχεται, σπεύδοντες πρός τόν βωμόν, ἀφοῦ ἐξήρχοντο

χηραμόθεν, ρώονται ἐφερπύζοντες ἀϋτμήν.
αὐτάρ ἔπειτα λίνοιο νεόπλυτα φάρεα κοῦροι
ἑσσάμενοι τρεῖς, ὀξύ φέρων ἄμφηκες ἕκαστος
ἄορ, ἀναρπάζειν ὄφιν αἰόλον, ὅς κε μάλιστα
κνίσσης ἰμείρων πυρός ἐγγύθι δινεύηται.
τοῦ δέ διαμελεΐστί δαΐζειν ἐννέα μοίρας·
τρεῖς μέν ἐπικλήζειν πανδερκέος ἠελίοιο,
τρεῖς δ' ἑτέρας γαίης ἐριβώλου λαοβοτείρης,
τρεῖς δέ θεοπροπίης πολυΐδμονος, ἀψεύστοιο·
τάς δέ λέβης κεράμοιο τετυγμένος αἱματοέσσας
δεξάσθω· καί δῶρον ἐλάϊνον Ἀτρυτώνης,
ἠδέ μέθυ Βρομίοιο καλεσσιχόρου καταχεύειν,
ἔν δ' ἅλας ἀργεννούς βαλέειν, θεράποντας ἐδωδῆς.

στίχοι 714-742

ἐν δέ σφιν καί δριμύν ἐπήλυδα κόκκον ἄνωγα
μίξαι ρυσσοχίτωνα, μελαγχροίην, ἐρίτιμον·
ἔν δέ καί ὅσσα περ ἄλλα μετ' ἀλλήλοισι μιγέντα
ἵμερον ἐσπέμπουσιν ἐδητύος ἀνθρώποισιν.
ὄφρα δ' ἐπί τρίποδος κρέα γάστρης δάμναται ἐντός,
τόφρα δέ κικλήσκειν μακάρων ἄρρητον ἑκάστων
οὔνομα. τέρπονται γάρ, ἐπεί κέ τις ἐν τελετῇσιν
μυστικόν ἀείδῃσιν ἐπώνυμον οὐρανιώνων.
ἀρᾶσθαι δέ Μέγαιραν ἀπόπροθι παφλάζοντος
σευέμεναι τρίποδος κακομήχανον· ἐς δ' ἄρα τούς γε πνεῦμα διΐπετές ἔνδον
ἄγειν ἱερᾶς ἐπί μοίρας.
ὁππότε δ' ἐψομένοισιν ἐπί κρεάεσσιν ἵκωνται,
ὅλοι μαζί ἀπό τάς ὁπάς των, τινάσσονται ἔρποντες ἐπάνω ἀπό τήν ὁσμήν.

Ἔπειτα δέ τρεῖς νέοι, ἀφοῦ ἐνδυθοῦν φρεσκοπλυμένα ροῦχα ἀπό λίνον φέρων ὁ καθένας ὀξύ δίκοπον ξίφος, νά ἁρπάζουν ἕνα φίδι ποικιλόχρωμον, τό ὁποῖον περισσότερον ἀπό ὅλα τά ἄλλα ἐπιθυμεῖ τήν κνίσσαν (τσίκναν) καί περιστρέφεται πλησίον εἰς τό πῦρ.

Οὐδένα γάρ ἐνθουσιασμόν ἄνευ τῆς ἐρωτικῆς ἐπιπνοίας συμβαίνει γίνεσθαι. Ὁρᾷς πῶς ὁ Ὀρφεύς πάσας ἐπιτηδεύσας φαίνεται, ὡς δεομένας καί ἐχομένας ἀλλήλων; τελεστικώτατον μέν γάρ αὐτόν καί μαντικώτατον παρειλήφαμεν, καί ὑπό τοῦ Ἀπόλλωνος κινούμενον, ἔτι ποιητικώτατον, ὄν γε δι' αὐτό τοῦτο καί Καλλιόπης υἱόν γενέσθαι φασίν. Ἐρωτικώτατός τε ἐστίν, ὡς αὐτός λέγων φαίνεται πρός τόν Μουσαῖον καί προτείνων αὐτῷ τά θεῖα ἀγαθά, καί τελειῶν αὐτόν.

2. Ibid.

Καί τρεῖς δέ λέγονται Ὀρφεῖς παρά Θρᾳξί γενέσθαι.

3. Ibid.

Οὐ πρῶτος δέ ὁ Πλάτων ἡνίοχος καί ἵππους παρέλαβεν, ἀλλά πρό αὐτοῦ οἱ ἔνθεοι τῶν ποιητῶν, Ὅμηρος, Ὀρφεύς, Παρμενίδης.

Ο Ρ Φ Ε Ω Σ

ΑΝΕΚΔΟΤΑ ΑΠΟΣΠΑΣΜΑΤΑ
(fragmenta inedita)

1. Ἑρμείου ἐκ τοῦ ὑπομνήματος εἰς τόν Φαῖδρον τοῦ Πλάτωνος

Κανείς λοιπόν ἐνθουσιασμός (κανένα δημιουργικόν ἔργον) δέν εἶναι δυνατόν νά προέλθῃ (νά γίνῃ) χωρίς τήν ἐρωτικήν ἔμπνευσιν (χωρίς τήν διέγερσιν, τήν ὁποίαν παρέχει ὁ ἔρως). Βλέπεις κατά ποῖον τρόπον εἶναι φανερόν ὅτι ὁ Ὀρφεύς ἐχρησιμοποίησε ὅλας τάς ἰδιότητας, (τάς μορφάς, τάς ἀπαιτήσεις καί τάς ἐπιθυμίας τοῦ θεοῦ), ἐπειδή ἡ μία ἔχει ἀνάγκην ἀπό τήν ἄλλην, καί δι' αὐτό συγκροτοῦνται μεταξύ των; αὐτόν δηλαδή τόν εὑρίσκομεν ὅτι εἶναι καταλληλότατος εἰς τάς μυήσεις καί ἱκανώτατος εἰς τήν μαντικήν τέχνην ἐμπνεόμενος ἀπό τόν Ἀπόλλωνα, ἐπειδή δέ ἦτο καί ἱκανώτατος εἰς τήν ποίησιν· δι' αὐτόν τόν λόγον ἀκριβῶς λέγουν ὅτι ὑπῆρξεν καί υἱός τῆς Καλλιόπης. Ἔχει ἀκόμη πολύ μεγάλην κλίσιν πρός τόν ἔρωτα, καθώς φαίνεται, καί ὅπως ὁ ἴδιος λέγει εἰς τόν Μουσαῖον, εἰς τόν ὁποῖον παρουσιάζει τά θεῖα ἀγαθά καί ἐπιδιώκει νά τόν τελειοποιήσῃ (νά τόν κάμῃ τέλειον).

2. Αὐτόθι

Λέγεται ὅτι τρεῖς μέ τό ὄνομα τοῦ Ὀρφέως ἐγεννήθησαν εἰς τήν Θράκην.

3. Αὐτόθι

Δέν παρέλαβε (δέν ἐχρησιμοποίησε) πρῶτος ὁ Πλάτων τόν ἡνίοχον καί τόν ἵππον, ἀλλά πρό αὐτοῦ οἱ θεόπνευστοι ποιηταί, δηλαδή ὁ Ὀρφεύς, ὁ Ὅμηρος, ὁ Παρμενίδης.

4. Ibid.

Αὐτῷ δέ τούτῳ πρώτῳ τῷ δεσπότῃ Φάνητι καί πτέρυγας δίδωσι· χρυσέαις πτερύγεσσι φορεύμενος ἔνθα καί ἔνθα.

5. Ibid.

Τετράς δέ ὁ Φάνης, ὡς Ὀρφεύς φησί, Τέτρασιν ὀφθαλμοῖσιν ὁρώμενος ἔνθα καί ἔνθα.

6. Ibid.

Ὁ γάρ τοι Ὀρφεύς περί τῆς νυκτός λέγων, θεῶν γάρ ἔχει φησί (sic), καί μαντοσύνην δέ οἱ δῶκεν ἔχειν ἀψευδέα πάντῃ.

7. Ibid.

Ἔξω γάρ προήλθον πρῶτοι ἀπό Φάνητος οὐρανός καί γῆ δεῖξαί τ' ἐξ ἀφανῶν φανερούς οἵτ' εἰσί γενέθλην. καί πρῶτος καταλάμπεται ὁ οὐρανός ὑπό τοῦ θείου φωτός τοῦ Φάνητος. τήν γάρ νύκτα ἡνῶσθαι αὐτῷ φησι πρωτόγονόν γέ μιν ὅστις ἐσέδρακεν ὀφθαλμοῖσιν, εἰ μή νύξ ἱερή μούνη, οἱ δ' ἄλλοι ἐθαύμαζον καθορῶντες ἐν αἰθέρι φέγγος ἄληπτον· τοῖον ἀπέστραπται χροός ἀθανάτοιο Φάνητος.

Binos posteriores versus, paulo aliter scriptos, citat Bentleius Epist. ad Millium p. 3.

8. Ibid.

Τριῶν γάρ παραδεδομένων νυκτῶν παρ' Ὀρφεῖ, τῆς μέν ἐν αὐτῷ μενούσης τῆς πρώτης, τῆς δέ τρίτης ἔξω προελθούσης τῆς μέσης τούτων, τήν μέν πρώτην μαντεύειν φησίν, ὅ ἐστι τῆς ἐπιστήμης, τήν δέ μέσην αἰδοίην καλεῖ, ὅ ἐστι τῆς σωφροσύνης, τήν δέ τρίτην ἀποτίκτειν φησί τήν δικαιοσύνην.

9. Ibid.

Ἀδράστεια κεκλημένη, διά τό τά ὑπ' αὐτῆς τεθέντα καί νομοθετηθέντα ἀναπόδραστα εἶναι. διό καί πρό τοῦ

4. Αὐτόθι

Εἰς αὐτόν τόν ἴδιον τόν δεσπότην (τόν ἄρχοντα) Φάνητα δίδει κατά πρῶτον πτερά· «κινούμενος μέ χρυσᾶ πτερά ἐδῶ καί ἐκεῖ».

5. Αὐτόθι

Ὁ Φάνης εἶναι τετράς, καθώς λέγει ὁ Ὀρφεύς, διότι καθορᾶται (βλέπεται) ὅτι ἔχει τέσσαρα μάτια ἀπό ἐδῶ καί ἀπό ἐκεῖ.

6. Αὐτόθι.

Ὁ Ὀρφεύς λέγει διά τήν νύκτα, διότι ἔχει καί αὐτή μερίδα ἀπό τούς θεούς, καί ἔδωσεν εἰς αὐτήν νά ἔχῃ μαντικήν δύναμιν κατά πάντα ἀληθινή (πού λέγει τήν ἀλήθειαν)

7. Αὐτόθι

«Πρῶτοι προῆλθαν ἀπό τόν Φάνητα (πρῶτοι ἐγεννήθησαν ἀπό τόν Φάνητα) ὁ οὐρανός καί ἡ γῆ, διά νά δείξουν τούς φανερούς ἀπό τούς ἀφανεῖς (ὅτι προῆλθον ἀπό τήν ἀφάνειαν, ἀπό τήν ἀνυπαρξίαν) καί ποῖοι εἶναι κατά τό γένος. Καί πρῶτος ὁ οὐρανός ἐφωτίσθη ἀπό τό θεῖον φῶς τοῦ Φάνητος. Διότι λέγει ὅτι ἡνώθη μέ αὐτόν κατά τήν νύκτα ὁ πρωτογέννητος, πού εἶδε αὐτόν μέ τά μάτια, ἐκτός μόνον ἀπό τήν ἱεράν νύκτα, οἱ δέ ἄλλοι ἐθαύμαζαν πού ἔβλεπαν εἰς τόν αἰθέρα τό ἀκατάληπτον φῶς· τόσον ἄστραπτε (ἐφώτιζε) τό σῶμα τοῦ ἀθανάτου Φάνητος».
Bφnos pὸsteriores versus, paulo aliter scriptos, citat Bentleius Epist. ad Millium p. 3 (Δύο ὕστερα στίχους, ὀλίγον διαφορετικά γραμμένους, μνημονεύει ὁ Bentleius εἰς Ἐπιστολήν πρός Μίλλιον, P. 3).

8. Αὐτόθι

Τρεῖς νύκτας ἀναφέρει ὁ Ὀρφεύς, ἐκ τῶν ὁποίων ἡ μέν πρώτη παραμένει εἰς αὐτόν, ἡ δέ τρίτη προχωρεῖ ἔξω ἀπό τήν μεσαίαν ἐκ τούτων· καί ἡ μέν πρώτη λέγει ὅτι ἔχει μαντικήν ἱκανότητα, πρᾶγμα πού εἶναι χαρακτηριστικόν τῆς ἐπιστήμης, τήν δέ μεσαίαν ὀνομάζει σεβαστήν, πρᾶγμα πού ἀνήκει εἰς τήν σωφροσύνην, διά δέ την τρίτην λέγει ὁ Ὀρφεύς ὅτι γεννᾷ τήν δικαιοσύνην.

9.

Ὀνομάζεται Ἀδράστεια, διότι ἐκεῖνα, πού καθωρίσθησαν ἀπό αὐτήν καί πού ἔγιναν νόμοι, εἶναι ἀναπόφευκτα. Διά τοῦτο λέγεται ὅτι ἐμ-

ἄντρου τῆς νυκτός ἠχεῖν λέγεται· παλάμῃσι δέ χάλκεα ρόπτρα δῶκεν Ἀδραστείη. ἐν τοῖς προθύροις γάρ τοῦ ἄντρου τῆς νυκτός κάθηται ὁ Φάνης· ἐν μέσῳ δέ ἡ νύξ, μαντεύουσα τοῖς θεοῖς θεσμούς. (cf. fr. 27)

πρός ἀπό τό σπήλαιον τῆς νυκτός παράγει ἤχους· εἰς δέ τά χέρια της ἔδωσεν ἡ Ἀδράστεια χάλκινα ρόπαλα· διότι εἰς τά πρόθυρα τοῦ σπηλαίου τῆς νυκτός εἶναι καθισμένος ὁ Φάνης· εἰς δέ τό μέσον εὑρίσκεται ἡ νύχτα, πού μαντεύει εἰς τούς θεούς τούς νόμους. (cf. Fr. 27, πρβλ. 27ον ἀπ.).

10 Ibid.

Proclus Commentario in Platonis Parmenidem.

Αὐτόν τόν Δία καί τόν Διόνυσον παῖδας καί νέους ἡ θεολογία καλεῖ, καίπερ ὄντε νέω, φησίν ὁ Ὀρφεύς.

10.

Ὁ Πρόκλος εἰς τό Ὑπόμνημα εἰς τόν Παρμενίδην τοῦ Πλάτωνος γράφει: Ἡ θεολογία τόν ἴδιον τόν Δία καί τόν Διόνυσον τούς λέγει νέους καί παιδιά, καίτοι ἦσαν νέοι, καθώς λέγει ὁ Ὀρφεύς.

11. Ibid.

Ὁ μέν γάρ Ὀρφεύς μετά τήν κατάποσιν τοῦ Φάνητος ἐν τῷ Διΐ τά πάντα γεγονέναι φησί. ἐπειδή πρώτως μέν καί ἡνωμένως ἐν ἐκείνῳ, δευτέρως δέ καί διακεκριμένως ἐν τῷ δημιουργῷ τά πάντων ἀνεφάνη τῶν ἐγκοσμίων αἴτια. ἐκεῖ γάρ ὁ ἥλιος, καί ἡ σελήνη, καί ὁ οὐρανός αὐτός, καί τά στοιχεῖα, καί ὁ ἔρως ὁ ἑνοποιός, καί πάντα ἁπλῶς ἔν γεγονότα. Ζηνωνός (sic) δ' ἑνί γαστέρι σύρρα πέφυκε.

v. Bentl. Ep. ad Mill. p. 3. (cf. Fr. 6, 8)

11. Αὐτόθι

Ὁ Ὀρφεύς λέγει ὅτι ὕστερα ἀπό τήν κατάποσιν τοῦ Φάνητος τά πάντα ἐγεννήθησαν ἐντός τοῦ Διός. Ἐπειδή κατά πρῶτον μέν καί κατά τρόπον ἡνωμένον ἦσαν εἰς ἐκεῖνον (τόν Φάνητα), ἐκ δευτέρου δέ καί κατά τρόπον χωριστόν ἦσαν τά πάντα εἰς τόν δημιουργόν, ἐφανερώθησαν τά αἴτια πάντων ὅσα γίνονται εἰς τόν κόσμον. Διότι ἐκεῖ ὁ ἥλιος, ἡ σελήνη καί αὐτός ὁ οὐρανός καί τά στοιχεῖα καί ὁ ἔρως, πού ἑνώνει, καί τά πάντα εἶχον γίνει γενικῶς ἕνα πρᾶγμα.

12. Ibid.

Οὐκ ἄν θαυμασώμεθα τῶν Ὀρφέως ἀκούοντες ἐπῶν, ἐν οἷς φησιν ὁ θεολόγος·
Αὐτη δέ Ζηνός καί ἐν ὄκμασι (sic) πατρός ἄνακτος ναίουσ' ἀθάνατοί τε θεοί, θνητοί τ' ἄνθρωποι, ὅσα τε ἦν γεγαῶτα, καί ὕστερον ὅπως ἔμελλε.

12. Αὐτόθι

Δέν θά ἀπορήσωμεν, ἐάν ἀκούωμεν τά ποιήματα τοῦ Ὀρφέως, εἰς τά ὁποῖα ὁ θεολόγος (ὁ Ὀρφεύς) λέγει:
«Αὐτή εἶναι τοῦ Διός καί εἰς τούς κόλπους (;) τοῦ βασιλέως πατρός
κατοικοῦν καί οἱ ἀθάνατοι θεοί καί οἱ θνητοί ἄνθρωποι, καί ὅσα εἶχον γίνει καί ὅσα ὕστερα ἔμελλον νά γίνουν».

13. Ibid.

Χρόνος δέ ὑπό Ὀρφέως ὀνομάζεται, κατά δή τινα θαυμαστήν ἀναλογίαν. γενέσεις γάρ ὁ θεολόγος τῶν ἀγεννήτων μυστικάς παραδούς, καί τό αἴτιον τῆς ἐκφάνσεως τῶν θείων χρόνων συμβολικῶς ὠνόμασεν. ὅπου γάρ γένεσις, ἐκεῖ καί χρόνος.

13. Αὐτόθι

Ὀνομάζεται δέ ἀπό τόν Ὀρφέα χρόνος συμφώνως πρός κάποιαν ἀξιοθαύμαστον ἀναλογίαν. Ὁ θεολόγος δηλαδή μᾶς ὡμίλησε διά τήν μυστηριώδη δημιουργίαν ἐκείνων πού δέν γεννῶνται καί κατωνόμασε κατά συμβολικόν τρόπον τήν αἰτίαν τῆς φανερώσεως τῶν θείων χρόνων· διότι ὅπου ὑπάρχει γένεσις (δημιουργία), ἐκεῖ ὑπάρχει καί χρόνος.

14. Proclus Comm. in Alcibiadem I.

Ὁ θεολόγος ὁ παρ᾽ Ἕλλησιν, ἀνόμματον ἀποκαλεῖ τόν ἔρωτα ἐκεῖνον· Ποιμαίνων πραπίδεσσιν ἀνόμματον ὠκύν ἔρωτα.

14.

Proclus Commen. in Alcibiadem I. (Πρόκλου Ὑπόμνημα εἰς τόν πρῶτον Ἀλκιβιάδην) Ὁ θεολόγος τῶν Ἑλλήνων (ὁ Ὀρφεύς) ὀνομάζει τυφλόν ἐκεῖνον τόν ἔρωτα· «Ὁδηγῶν μέ τόν νοῦν τόν τυφλόν ταχύν ἔρωτα».

15. Ibid.

Καί μοι δοκεῖ καί ὁ Πλάτων, εὑρών παρ᾽ Ὀρφεῖ τόν αὐτόν τοῦτον θεόν καί ἔρωτα καί δαίμονα μέγαν ἀποκαλούμενον. ἀγαπήσειε καί αὐτός ἐπί τοῦ ἔρωτος τόν τοιοῦτον ὕμνον. περί μέν γάρ τοῦ νοητοῦ νοῦ λέγων ὁ θεολόγος, ἀβρός ἔρως φησί, καί μῆτις ἀτάσθαλος, καί πάλιν, οἷσιν ἐπεμβεβαώς δαίμων μέγας αἰέν ἐπίσχνη· **(sic duo MSS. cf. p. 404, 8)** περί δέ τοῦ νοεροῦ νοῦ καί ἀμεθέκτου, καί μῆτις πρῶτος γενέτωρ, καί ἔρως πολυτερπής (cf. fr. 8, 2), καί πάλιν, ἕν κράτος, εἷς δαίμων γένετο μέγας ἀρχός ἁπάντων.
v. Bentl. Ep. ad Mill. p. 3. 4.

15. Αὐτόθι

Νομίζω ὅτι καί ὁ Πλάτων, ἀφοῦ ηὗρε ὅτι ὁ ἴδιος αὐτός θεός ἀποκαλεῖται ἀπό τόν Ὀρφέα ἔρως καί μέγας θεός, θά ἀγαπήσῃ καί αὐτός τόν τοιούτου χαρακτῆρος ὕμνον διά τόν ἔρωτα. Διότι ὁμιλῶν ὁ θεολόγος περί τοῦ νοῦ, ὁ ὁποῖος εἶναι δυνατόν νά νοηθῇ, λέγει «κομψός ἔρως» καί «πανουργία αὐθάδης» καί πάλιν «εἰς τούς ὁποίους πάντοτε ἐπεμβαίνει ὁ μέγας θεός» «περί δέ τοῦ νοεροῦ νοῦ καί τοῦ μή μετέχοντος» «καί ὁ μῆτις πρῶτος πατήρ» «καί ὁ ἔρως πού παρέχει πολλάς τέρψεις» καί πάλιν «ἕνα κράτος, ἕνας θεός ἔγινε μέγας ἀρχηγός ὅλων».

16. Ibid.

Παρά τῷ Ὀρφεῖ λέγει που πρός τόν ἑαυτοῦ πατέρα τόν Κρόνον ὁ Ζεύς· Ὄρθου δ᾽ ἡμετέρην γενεήν ἀριδείκετε δαίμων. **(cf. Fr. 10, 4)**

16. Αὐτόθι

Εἰς κάποιο μέρος τῶν ποιημάτων τοῦ Ὀρφέως ὁ Ζεύς ἀπευθυνόμενος πρός τόν πατέρα του Κρόνον τοῦ λέγει τά ἑξῆς: «Ὄρθωνε (σήκωνε) τήν ἰδικήν μας γενεάν, σύ ὁ περιφανής θεός» (cf. fr. 10,4 - παράβαλε τό ὑπ᾽ ἀριθ. 10 ἀπόσπασμα).

17. Ibid.

Καί μοι δοκεῖ, καθάπερ Ὀρφεύς ἐφίστησι τῷ βασιλεῖ Διονύσῳ τήν μονάδα τήν Ἀπολλωνιακήν ἀποτρέπουσαν αὐτόν τῆς εἰς τό Τιτανικόν πλῆθος προόδου, καί τῆς ἐξαναστάσεως τοῦ βασιλείου θρόνου, καί φρουροῦσαν αὐτόν ἄχραντον ἐν τῇ ἑνώσει, τοιαῦτα δή καί ὁ Σωκράτους δαίμων περιάγειν μέν αὐτόν εἰς τήν νοεράν περιωπήν, ἐπέχειν δέ τῶν πρός τούς πολλούς συνουσιῶν.

17. Αὐτόθι

Καί ἐγώ νομίζω, ὅτι, καθώς ἀκριβῶς ὁ Ὀρφεύς θέτει εἰς τόν βασιλεα Διόνυσον τήν Ἀπολλωνιακήν μονάδα (τήν μονάδα τοῦ Ἀπόλλωνος), ἡ ὁποία ἀποτρέπει αὐτόν ἀπό τοῦ νά προχωρήσῃ εἰς τό Τιτανικόν πλῆθος (τό πλῆθος τῶν Τιτάνων) καί διαφυλάσσει αὐτόν ἀμίαντον κατά τήν ἕνωσιν, κατά τοιοῦτον βεβαίως τρόπον καί τό δαιμόνιον τοῦ Σωκράτους περιφέρει μέν αὐτόν εἰς τήν νοεράν σκοπιάν, ἐμποδίζει ὅμως αὐτόν ἀπό τάς συναναστροφάς μέ τούς πολλούς ἀνθρώπους (ἀπό τοῦ νά συναναστρέφεται πολλούς ἀνθρώπους).

18. Ibid.

Πάρεδρος ὁ νόμος τοῦ Διός, ὥς φησιν ὁ Ὀρφεύς.

18. Αὐτόθι

«Ὁ νόμος εἶναι πάρεδρος (παρακαθήμενος) τοῦ Διός», καθώς λέγει ὁ Ὀρφεύς.

19. Olympiodorus Comm. in Alcibiadem I.

Ἀλλά μήν καί ὑλῶοι λέγονται, οἱ τήνδε τήν ὕλην ἐξάπτοντες τῆς τῶν οὐρανίων, καί διά τούτου φρουροῦντες αὐτήν, καί μή συγχωροῦντες ρευστήν οὖσαν, πάντῃ φθείρεσθαι. φησί γάρ καί ὁ Ὀρφεύς· Ὕλης οὐρανίης καί ἀστερίης καί ἀβύσσου.

19.

Olympiodorus Comm. in Alcibiadem I. (Ὀλυμπιοδώρου Ὑπόμνημα εἰς τόν πρῶτον Ἀλκιβιάδην)

Ἀλλά βεβαίως λέγεται ὅτι φωνάζουν ἐκεῖνοι, οἱ ὁποῖοι ἀνάπτουν αὐτήν τήν ὕλην ἀπό τήν ὕλην τῶν οὐρανίων σωμάτων καί οἱ ὁποῖοι διά τούτου τοῦ τρόπου διαφυλάσσουν αὐτήν καί δέν ἐπιτρέπουν, ἐπειδή εἶναι ρευστή, νά καταστρέφεται ἐξ ὁλοκλήρου. Λέγει δηλαδή καί ὁ Ὀρφεύς τά ἑξῆς: «Ὕλης οὐρανίας (ἀπό τόν οὐρανόν) καί ἀπό ἀστέρια καί ὑποχθονίου».

20. Olympiodorus Comm. in Phaedonem.

Καί ἔστι τό μυθικόν ἐπιχείρημα τοιοῦτον παρά τῷ Ὀρφεῖ. τέσσαρες βασιλεῖαι παραδίδονται. πρώτη μέν ἡ τοῦ Οὐρανοῦ, ἣν ὁ Κρόνος διεδέξατο, ἐκτεμών τά αἰδοῖα τοῦ πατρός. μετά δέ τόν Κρόνον ὁ Ζεύς ἐβασίλευσεν καταταρταρώσας τόν πατέρα. εἶτα τόν Δία διεδέξατο ὁ Διόνυσος, ὅν φασι κατ' ἐπιβουλήν τῆς Ἥρας τούς περί αὐτόν Τιτᾶνας σπαράττειν, καί τῶν σαρκῶν αὐτοῦ ἀπογεύεσθαι. καί τούτους ὀργισθείς ὁ Ζεύς ἐκεραύνωσε, καί ἐκ τῆς αἰθάλης τῶν ἀτμῶν τῶν ἀναδοθέντων ἐξ αὐτῶν, ὕλης γενομένης γενέσθαι τούς ἀνθρώπους.

20. Olympiodorus Comm. in Phaedonem

(Ὀλυμπιοδώρου Ὑπόμνημα εἰς τόν Φαίδωνα) Καί τό μυθικόν ἐπιχείρημα τοῦ Ὀρφέως εἶναι αὐτό περίπου: Τέσσαρες βασιλεῖαι (βασιλικαί ἐξουσίαι) ἀναφέρονται. Πρώτη μέν εἶναι ἡ βασιλεία τοῦ Οὐρανοῦ, τήν ὁποίαν διεδέχθη ὁ Κρόνος, ἀφοῦ ἀπέκοψε τά γεννητικά ὄργανα τοῦ πατρός του. Μετά δέ τόν Κρόνον ἐβασίλευσεν ὁ Ζεύς, ὁ ὁποῖος ἔρριψε κάτω εἰς τά Τάρταρα τόν πατέρα του. Ἔπειτα τόν Δία τόν διεδέχθη ὁ Διόνυσος, τόν ὁποῖον λέγουν ὅτι κατά κακόβουλον σχέδιον τῆς Ἥρας τόν κατεσπάραξαν οἱ Τιτᾶνες, πού ἦσαν γύρω ἀπό αὐτόν, καί ἔλαβον γεῦσιν ἀπό τάς σάρκας του (ἔφαγαν ἀπό τάς σάρκας του). Καί αὐτούς (τούς Τιτᾶνας) κατέκαυσε μέ τούς κεραυνούς του ὁ Ζεύς, καταληφθείς ὑπό ὀργῆς· καί ἀπό τήν καπνιά τῶν ἀτμῶν, πού ἀνεδόθησαν (ἀνυψώθησαν) ἀπό αὐτούς (τούς Τιτᾶνας) προῆλθεν ἡ ὕλη, ἀπό τήν ὁποίαν ἔγιναν οἱ ἄνθρωποι.

21. Ibid.

Διόπερ καί παρῳδεῖ ἔπος Ὀρφικόν τό λέγον, ὅτι ὅστις δι' ἡμῶν ἀτέλεστος, ὥσπερ ἐν βορβόρῳ κείσεται ἐν Ἅιδου.

21. Αὐτόθι

Διά τοῦτο καί παρῳδεῖ ὁ Πλάτων (διαστρέφει κατά τρόπον κωμικόν) τόν στίχον τοῦ Ὀρφέως, ὁ ὁποῖος λέγει, ὅτι ὅποιος ἀπό ἡμᾶς εἶναι ἀμύητος, θά κεῖται εἰς τόν Ἅιδην ὡσάν μέσα εἰς βόρβορον.

22. Ibid.

Καί ὅτι τό ζῶν καί τό τεθνεός ἐξ ἀλλήλων, κατασκευάζει ἡ λέξις, ἐκ τῆς μαρτυρίας τῶν παλαιῶν ποιητῶν, ἀπό Ὀρφέως φημί λέγοντος· Οἱ δ' αὐτοί πατέρες καί υἱέες ἐν μεγάροισιν ἠδ' ἄλοχοι σεμναί κεδναί τε θύγατρες·

22. Αὐτόθι

Καί ὅτι τό ζωντανόν καί τό νεκρόν (ἡ ζωή καί ὁ θάνατος) προέρχονται ἀμοιβαίως τό ἕνα ἀπό τό ἄλλο, τοῦτο τό δεικνύει ἡ λέξις, ἀπό τήν μαρτυρίαν τῶν παλαιῶν ποιητῶν, ἐννοῶ ἀπό τόν Ὀρφέα, ὁ ὁποῖος λέγει: «Οἱ ἴδιοι εἶναι εἰς τάς οἰκίας καί πατέρες καί υἱοί καί σεβαστοί σύζυγοι καί συνεταί θυγατέρες». Διότι παντοῦ

πανταχοῦ γάρ ὁ Πλάτων παρῳδεῖ τά Ὀρφέως.

23. Ibid.

Ὁ Διόνυσος λύσεώς ἐστιν αἴτιος. διό καί λυσεύς ὁ θεός. καί Ὀρφεύς φησιν·
Ἄνθρωποι δέ τελησσας ἑκατόμβας
πέμψουσιν πάσῃσιν ἐν ὥραις ἀμφιέτῃσιν
ὄργια ἐκτελέσουσι, λύσιν προγόνων ἀθεμίστων
μαιόμενοι. σύ δέ τοῖσιν ἔχων κράτος, οὓς κ' ἐθέλησθα,
λύσεις ἔκ τε πόνων χαλεπῶν καί ἀπείρονος οἴστρου.

24. Ibid.

Ὅτι παλαιός ὁ λόγος, Ὀρφικός τε γάρ καί Πυθαγόρειος, ὁ πάλιν ἄγων τάς ψυχάς εἰς τό σῶμα, καί πάλιν ἀπό τοῦ σώματος ἀνάγων, καί τοῦτο κύκλῳ πολλάκις.

25. Ibid.

Ὅτι οἱ παραδιδόμενοι τέσσαρες ποταμοί κατά τήν Ὀρφέως παράδοσιν, τοῖς ὑπογείοις ἀναλογοῦσι δέ στοιχείοις τε καί κέντροις, κατά δύο ἀντιθέσεις. ὁ μέν γάρ Πυριφλεγέθων, τῷ πυρί καί τῇ ἀνατολῇ, ὁ δέ Κωκυτός, τῇ γῇ καί τῇ δύσει, ὁ δέ Ἀχέρων, ἀέρι τε καί μεσημβρίᾳ. τούτους μέν Ὀρφεύς οὕτω διέταξεν, αὐτός δέ τόν Ὠκεανόν, τῷ ὕδατι καί τῇ ἄρκτῳ προσοικειοῖ.

26. Olympiodorus Comm. in Philebum.

ἐν δέ γε τῷ φανερῷ ὁ νοῦς βασιλεύει· διό καί Ὀρφεύς φησί· νοῦς δέ οἱ ἀψευδής βασιλήϊος.

27. Ibid.

εἴτε (μνήμη) ἡ θεός αὐτή, ἀφ' ἧς πᾶσα ἡ ἰδιότης ἐπιγίνεται, εἴτε ἡ παρά τῷ Ὀρφεῖ Μνημώ, εἴτε καί ἄλλη τις οὖσα τυγχάνει.

ὁ Πλάτων παρῳδεῖ (διαστρέφει κωμικῶς) τά ποιήματα τοῦ Ὀρφέως.

23. Αὐτόθι

Ὁ Διόνυσος εἶναι αἴτιος τῆς ἀπολυτρώσεως. Διά τοῦτο ὁ θεός ὀνομάζεται καί «Λυσεύς» (λυτρωτής), ὁ δέ Ὀρφεύς λέγει:
«Οἱ ἄνθρωποι θά στείλουν πλήρεις θυσίας καθ' ὅλας τάς ἐποχάς τοῦ ἔτους καί θά ἐκτελέσουν τάς ἐπιβεβλημένας ἱεροτελεστίας, ἐπειδή ἐπιδιώκουν νά ἀπολυτρωθοῦν ἀπό τάς ἁμαρτίας τῶν προγόνων των· σύ ὅμως, ὦ Διόνυσε, πού ἔχεις τήν ἐξουσίαν αὐτῶν, θά ἀπαλλάξῃς ἀπό τά φοβερά βάσανα καί ἀπό τήν ἀπέραντον μανίαν (ἀπό τά παράφορα πάθη) ἐκείνους πού θέλεις.

24. Αὐτόθι

Εἶναι παλαιός ὁ λόγος, διότι ἀνήκει εἰς τόν Ὀρφέα καί εἰς τόν Πυθαγόραν, πού ὁδηγεῖ πάλιν τάς ψυχάς εἰς τό σῶμα, καί ἐξ ἀντιθέτου τάς ὁδηγεῖ ἀπό τό σῶμα πρός τά ἐπάνω (πρός τά ὑψηλά), καί τοῦτο γίνεται κυκλικῶς πολλάς φοράς.

25. Αὐτόθι

Οἱ μνημονευόμενοι τέσσαρες ποταμοί συμφώνως πρός τήν παράδοσιν τοῦ Ὀρφέως (συμφώνως πρός ὅσα μᾶς λέγει ὁ Ὀρφεύς) ἔχουν ἀναλογικήν σχέσιν πρός τά ὑπόγεια στοιχεῖα (πρός τά ὑποκάτω τῆς γῆς στοιχεῖα) καί τά κέντρα ὡς πρός δύο ἀντιθέσεις (ὡς πρός δύο ἀντιθέτους καταστάσεις). Ὁ Πυριφλεγέθων δηλαδή ἔχει ἀναλογίαν πρός τό πῦρ καί τήν ἀνατολήν, ὁ Κωκυτός πρός τήν γῆν καί πρός τήν δύσιν, ὁ Ἀχέρων πρός τόν ἀέρα καί τόν νότον. Αὐτούς μέν ὁ Ὀρφεύς κατά τοῦτον τόν τρόπον κατέταξεν, ὁ ἴδιος δέ τόν Ὠκεανόν καθορίζει ὡς οἰκεῖον (ὡς συγγενεύοντα) πρός τό ὕδωρ καί πρός τόν βορρᾶν.

26. Olympiodoros Comm. in Philebum (Ὀλυμπιοδώρου Ὑπόμνημα εἰς τόν Φίληβον) Εἰς τό φανερόν (εἰς τό φῶς) βασιλεύει ὁ νοῦς· διά τοῦτο καί ὁ Ὀρφεύς λέγει «ὁ νοῦς τοῦ βασιλέως δέν ψεύδεται».

27. Αὐτόθι

Εἴτε ἡ μνήμη εἶναι αὐτή ἡ θεά, ἐκ τῆς ὁποίας προέρχεται ὅλη ἡ ἰδιότης (ἡ ἰδιαιτέρα φύσις) εἴτε ἡ ὀνομαζομένη ἀπό τόν Ὀρφέα Μνημώ εἴτε συμβαίνει νά εἶναι κάποια ἄλλη.

28. Ibid.

Καί μήν έν τοῖς Ὀρφικοῖς έν τῷ μυθευομένῳ ᾠῷ, τάς τρεῖς έκφανῆναι μονάδας φησίν.

28. Αὐτόθι

Καί εἰς τά ποιήματα τοῦ Ὀρφέως εἰς τό μέρος, ὅπου γίνεται μυθικός λόγος γιά τό αὐγό, λέγει (ὁ Πλάτων) ὅτι ἐφανερώθησαν αἱ τρεῖς μονάδες.

29. Orion Thebanus περί ἐτυμολογιῶν, MS in Bibl. Reg.

Χεῖρες ἀπό τῆς χρήσεως, ὡσανεί χρήσιες οὖσαι, ἤ χρεῖαι. οὐδεμία γάρ τέχνη προκόπτει δίχα χειρῶν. Ὀρφεύς· Χειρῶν ὀλλυμένων ἔρρεν πολυεργός Ἀθήνη.

29. Orion Thebanus (Ὡρίων ὁ Θηβαῖος) περί ἐτυμολογιῶν.

Αἱ χεῖρες ἐτυμολογοῦνται ἀπό τήν χρῆσιν (χρησιμοποίησιν), ὡσάν αὐταί νά εἶναι χρήσεις ἤ χρεῖαι (ἀνάγκαι). Διότι οὐδεμία τέχνη προοδεύει χωρίς χέρια. Ὁ δέ Ὀρφεύς λέγει: «Ὅταν καταστρέφωνται τά χέρια, ἐξαφανίζεται ἡ Ἀθηνᾶ, πού ἐργάζεται πολύ».

30. Etymologicum MS, Bibl. Regiae.

Μίνθη, ἥν τινες ἡδύοσμον καλοῦσιν. ἔστι δέ καλάμινθος ἄγριον ἡδύοσμον, ὅπερ λυπουμένη ἡ Δημήτηρ ἰδοῦσα ἐμίσησε καί ἄκαρπον ἐποίησε. Ὀρφεύς· Τό πρίνιον μέγα δένδρον ἐπί χθονί καί φερέκαρπον.

30. Ἐτυμολογικόν

Ἡ μίνθη, τήν ὁποίαν μερικοί ὀνομάζουν ἡδύοσμον (δυόσμο). Εἶναι δέ ἡ καλάμινθος ἄγριον ἡδύοσμον, τό ὁποῖον, ὅταν τό εἶδεν ἡ Δημήτηρ, ἐπειδή ἦτο λυπημένη, τό ἐμίσησε καί τό κατέστησεν ἄκαρπον (τό ἔκαμε νά μή δίδῃ παράγῃ καρπούς). Ὁ δέ Ὀρφεύς λέγει: «Τό πρίνιον (πρίνον) εἶναι μεγάλο δένδρον ἐπάνω εἰς τήν γῆν καί παράγει καρπούς».

31. Scholiastes MS. in Dionysium Perieges. vs. 1.

Καί Ὀρφεύς ἐν τῷ περί Διός καί Κόρης φησίν· Κύκλον τ᾽ ἀέναον καλλιρρόου ὠκεανοῖο, γαῖαν δίνῃσι περί νιν ἔχει ἀμφιέλισσε. **Hoc fragmentum aliter legitur apud Eustathium l.c. (cf. Fr. XLIV)**

31. Ὁ σχολιαστής εἰς τόν Διονύσιον τόν Περιηγητήν

Καί ὁ Ὀρφεύς εἰς τό ποίημά του διά τόν Δία καί διά τήν Κόρην λέγει: «Τόν αἰωνίως ρέοντα κύκλον τοῦ Ὠκεανοῦ μέ τά ὡραῖα νερά, πού περιέχει καί περιελίσσει τήν γῆν μέ τούς νεροστροβίλους του». -(Hoc fragmentum aliter legitur apud Eustathium - cf. fr. XLIV. Τό ἀπόσπασμα τοῦτο κατ᾽ ἄλλον τρόπον ἀναγινώσκεται εἰς τόν Εὐστάθιον. Πρβλ. τό 44ον ἀπόσπ.)

32. Scholiastes MS in Aphthonii Progymnasmata.

Ὀρφεύς ὁ παῖς Οἰάγρου που φησίν ἐν λόγοις·
Ἐν θήρεσσι λέοντες ὀρειλεχέες χαμαιεῦναι
γίνοινται, δάφναι δ᾽ ἐν δένδρεσιν ἠϋκόμοισι.

32. Ὁ Σχολιαστής εἰς τά προγυμνάσματα τοῦ Ἀφθονίου.

Ὁ Ὀρφεύς ὁ υἱός τοῦ Οἰάγρου λέγει κάπου εἰς τούς λόγους του (εἰς τά ποιήματά του):
«Μεταξύ τῶν θηρίων γεννῶνται οἱ λέοντες πού κατακλίνονται χάμω εἰς τά ὄρη, καί αἱ δάφναι γίνονται μεταξύ τῶν δένδρων μέ τούς ὡραίους κλάδους».

33. Io. Tzetzes Exeg. Hom. MS. fol 8.

Εὑρίσκω γάρ αὐτόν (Homerum) ἃ μέν τινα τῶν Ὀρφέως ἐπῶν καθ᾽ ὁλοκληρίαν πρός τήν αὐτοῦ μετοχετεύσαντα ποίησιν, ἕτερα δέ

33. Ἰω. Τζέτζης ἐξήγησις ὁμηρικοῦ χειρογράφου 9.8

Εὑρίσκω ὅτι αὐτός (ὁ Ὅμηρος) μερικά μέν ἀπό τά ποιήματα τοῦ Ὀρφέως τά μετέφερεν ἐξ ὁλοκλήρου εἰς τά ἰδικά του ποιήματα, ἄλλα

πάλιν καθ᾽ ἡμίσειαν παράσπάσαντα· ἔστι δ᾽ ἃ καί μεταφράσαντα ἤ καί ἄλλην ἄλλως μεταστρέψαντα ποίησιν· ὡς τό

σηκάζειν πυρσούς τε καί ἀστάχυας κατ᾽ ἀλωάς,

ἀνδρῶν λικμώντων ὅτε τε ξανθή μήτηρ

κρίνῃ ἐπειγομένων ἀνέμων καρπόν τε καί ἄχνας.

καί τό,

ἕκτον ἔτος· τό μέν οὔτις ἐπέφρασεν οὐδ᾽ ἐνόησεν.

καί τό,

μῆνιν ἄειδε θεά Δημήτερος ἀγλαοκάρπου.

πρός δέ καί τό,

ἕκτῃ ἐνήριγεν εἰροδοδακτύλῳ ἀργυροπέζῃ. (ὁ στῖχος αὐτός εἶναι λανθασμένος καί εἶναι προφανῶς ἔργον κακοῦ ἀντιγραφέως. Ἡ πιθανή ἀκριβής γραφή ὑπάρχει εἰς τήν μετάφρασιν τῶν ἀποσπασματίων).

καί τό,

ἰστόν ἐποιχομένην ἀτελῆ πόνον ἀνθεμόεσσαν.

καί τό,

σμήνεα δ᾽ ἐργάζεο μελισσάων ἀδινάων.

ὁμοίως δέ καί τό,

Ζεύς Κρονίδης βασιλεύς ὑψίζυγος αἰθέρι ναίων καί κατά μετάφρασιν, ὡς τό,

οὐδ᾽ ἦν Ἰφίκλοιο θοώτερος αὐδάζοιο

ὅστε καί ἀνθερίκεσσιν ἐπέτρεχεν, οὐδέ τι καρπόν

σίνετ᾽ ἀήσυρα ἐλαφρά γυῖα φέρων ἐπί λήϊον αὖον.

καί ἕτερα μυρία.

34. Idem fol. 1. a. b.

Ὁ παλαιός γάρ Ὀρφεύς ἀφ᾽ οὗπερ ὁ ἐμός χρυσοῦς Ὅμηρος πολλά ἀνθεμουργόν μέλισσαν ἄνθη ἐπῶν ἀπεδρέψατο, ἐν ταῖς ἑαυτοῦ δωδεκαετηρίσιν, οὐ νήδυμον φησίν ἀλλά ἥδυμον, λέγων οὑτωσί.

ὣδε γάρ ἄν μίμνοι καθαρός τε... ἔμπλεος οἶνος ἥδυμος εὐώδης τε· καλόν δ᾽ ἔτος ἐστί φυτείης.

καί ἀλλαχοῦ πάλιν φησίν.

δέ πάλιν ποιήματα τοῦ Ὀρφέως τά ἀπέσπασε κατά τό ἥμισυ· ἀκόμη καί ἄλλα τά μετέφρασε ἤ καί τά μετέτρεψε κατ᾽ ἄλλον τρόπον εἰς ἄλλο μέρος· καθώς εἶναι τό

«Νά μανδρώσουν φανούς καί στάχυα στ᾽ ἀλώνια

ἀνθρώπων πού λιχνίζουν τόν καρπόν καί τά ἄχυρα,

ἐνῶ φυσοῦν οἱ ἄνεμοι,

ὅταν τοῦτο τό ἀποφασίσῃ ἡ ξανθή μητέρα»·

καθώς καί τόν στίχον

«κατά τό ἕκτον ἔτος· τοῦτο κανείς δέν τό ἀντελήφθη οὔτε τό κατάλαβε»

καί τόν στίχον

«τήν ὀργήν τραγούδησε, θεά, τῆς Δήμητρος μέ τούς ὡραίους καρπούς»

Προσέτι καί τόν στίχον

«ἕκτῃ ἐνήριγεν εἰροδοδακτύλῳ ἀργυροπέζῃ» (ὁ ἀνωτέρω στῖχος εἶναι ἀκατανόητος καί συνεπῶς λανθασμένος καί ἡ πιθανή ὀρθή διόρθωσις εἶναι:

«ἕκτῃ ἐν ἠριγενείᾳ ροδοδακτύλῳ ἀργυροπέζῃ»)

καί τό

«Νά ὑφαίνῃ ἀτελείωτον πόνον»

καί τό

«πυκνά σμήνη μελισσῶν».

Ἐπίσης καί τόν στίχον

«Ὁ Ζεύς ὁ βασιλεύς, ὁ υἱός τοῦ Κρόνου, πού ἔχει ὑψηλά τόν θρόνον του καί κατοικεῖ εἰς τόν αἰθέρα».

Καί κατά μετάφρασιν, καθώς εἶναι οἱ στίχοι:

«οὔτε ἐάν εἴπῃς ὅτι εἶναι ταχύτερος ἀπό τόν Ἴφικλον,

πού ἔτρεχε ἐπάνω στά ἄνθη ἀπό σφερδούκλι, οὔτε ἔβλαπτε καθόλου τόν καρπόν, ἐπειδή ἐκινεῖτο ἐπάνω εἰς τό ξηρό χωράφι ἀνάλαφρος καί ἐσηκώνοντο ὑψηλά».

Καί ἄλλα πάρα πολλά.

34. Τοῦ ἰδίου φύλλου 1 ab

Ὁ παλαιός Ὀρφεύς, ἀπό τόν ὁποῖον ὁ ἰδικός μου χρυσοῦς Ὅμηρος ἔδρεψε πολλά ἄνθη ἀπό τά ποιήματά του ὡσάν μέλισσα πού ἐπεξεργάζεται τά ἄνθη, εἰς τάς ἰδικάς του δωδεκαετηρίδας δέν ἔχει τήν λέξιν νήδυμον (βαθύν) ἀλλά τήν λέξιν ἥδυμον (γλυκύν) καί λέγει τά ἑξῆς:

«ἔτσι ἠμπορεῖ νά μένῃ καθαρός... καί γεμάτος οἶνος γλυκύς καί εὔοσμος· εἶναι δέ καλή χρονιά τῆς φυτείας» καί εἰς ἄλλο πάλιν μέρος λέγει:

ὕπνον ὃς οὐκ ἐᾷ με λιγύν ἐπί βλεφάροισιν ἰαύειν, ἱστάμενος ἁπαλοῖς ἐν ὀνείρασιν ἄν πᾶσαν ὄρφνην. τό δέ λιγύς ταὐτόν ἐστίν τῶ ἥδυμος.

«αὐτός πού δέν μέ ἀφίνει νά ἀπολαύσω στά βλέφαρά μου τόν γλυκύν ὕπνον,
διότι ἔρχεται σέ ὄνειρα ἁπαλά κάθε νύχτα»
ἡ δέ λέξις λιγύς (γλυκύς) εἶναι ἡ ἰδία μέ τήν λέξιν ἥδυμος (γλυκύς).

35. Idem fol. 9. b.

35. Τοῦ αὐτοῦ φύλλου 9b.

Καί ὁ Ὀρφεύς·
ἡ μέν γάρ στείχησιν ἐπ᾽ ἀρνειοῖο θεοῖο.

Καί ὁ Ὀρφεύς λέγει:
«καί βαδίζει ἐπάνω εἰς τόν ἀρνίσιον θεόν».

36. Idem fol. 11 b.

36. Τοῦ αὐτοῦ φύλλου 11b.

Ῥήτωρ ὡς ἤδη εἰρήκειν γεγονώς ὁ Ἀλέξανδρος (Priami f.) πολλά συγγεγράφηκεν, οἶμαι δέ καί ἀρχαιογονίας λόγους ἐξέθετο, πῶς οὐρανός τε γαῖά τ᾽ ἦν μορφή μία, ἐπεί δ᾽ ἐχωρίσθησαν ἀλλήλων δίχα, τίκτουσι πάντα, κἀπέδωκαν εἰς φάος, καθά φησίν Ὀρφεύς τε ὁ παλαιός καί Ἡσίοδος, Ἐμπεδοκλῆς τε σύν αὐτοῖς ὁ Ἀκραγαντῖνος, καί Ἀναξαγόρας ὁ Κλαζομένιος, καί ὁ τοῦ Ἀναξαγόρου τουτουί μαθητής Εὐριπίδης, οὗτινός εἰσιν ἔπη καί οἱ τανῦν ρηθέντες μοι ἴαμβοι.

Καθώς ἤδη εἶχον εἴπει, ὁ Ἀλέξανδρος (τοῦ Πριάμου) ὑπῆρξε ῥήτωρ καί συνέγραψε πολλά συγγράμματα. Νομίζω δέ ὅτι ἔγραψε καί διά τήν ἀρχαίαν καταγωγήν μας, πῶς δηλαδή ὁ οὐρανός καί ἡ γῆ ἦσαν μία μορφή, ὅταν δέ ἐχωρίσθησαν μεταξύ των ἐγέννησαν τά πάντα καί τά ἔφεραν εἰς τό φῶς, καθώς λέγει ὁ Ὀρφεύς ὁ παλαιός καί ὁ Ἡσίοδος· καί μαζί μέ αὐτούς καί ὁ Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος καί ὁ Ἀναξαγόρας ὁ Κλαζομένιος καί ὁ μαθητής αὐτοῦ τοῦ Ἀναξαγόρου Εὐριπίδης, εἰς τόν ὁποῖον ἀνήκουν καί οἱ στίχοι, τούς ὁποίους ἀνέφερα τώρα.

ΥΠΟΔΕΙΞΕΙΣ ΚΑΙ ΚΡΙΣΕΙΣ

Ὅπως ἀνεφέρθη καί εἰς τά προηγούμενα, τά κείμενα τῶν Ὀρφικῶν δέν διεσώθησαν ὅλα εἰς τό ἀκέραιον, πλήρη, καί ἐκτός μεγάλου τμήματος (τό πρῶτον κυρίως μέρος) τῶν «Ἀργοναυτικῶν» καί τῶν «Ὕμνων τοῦ Ὀρφέως» τά διασωθέντα εἶναι ἀποσπάσματα ἀπό παλαιά ἔργα τῶν Ὀρφικῶν ἤ διδασκαλιῶν τοῦ Ὀρφέως, διασωθέντα ἀπό διαφόρους μετέπειτα συγγραφεῖς.

Ἀλλά τά ἀποσπασμάτια αὐτά εἶναι μεγίστης ἀξίας καί σημασίας, διότι περιέχουν γνώσεις, ἀπόψεις καί πληροφορίας, βάσει τῶν ὁποίων ἐπιτυγχάνεται ἡ διαμόρφωσις μιᾶς γενικωτέρας βεβαίως ἀλλά χρησιμωτάτης ἐντυπώσεως καί γνώσεως τῶν θεογονικῶν ἀπόψεων τῶν Ὀρφικῶν, καί κυρίως τῆς ἀπόψεώς των περί τῆς ὑπάρξεως ἑνός καί ΜΟΝΟΝ θεοῦ δημιουργοῦ καί κυριάρχου τοῦ Σύμπαντος πρός μεγίστην βεβαίως θλῖψιν τῶν Ἰουδαίων, οἱ ὁποῖοι ἐπίστευον καί διεκήρυσσον ὅτι ὁ Ἰεχωβᾶ, ὁ Θεός των, ἤτο ὁ πρῶτος καί ΜΟΝΟΣ Θεός πού ἐγνώρισεν ὁ ἄνθρωπος· (βλέπε ἀποσπασμάτια ὑπ᾽ ἀριθμούς 1, 2, 3, 4, 22, 25, 26, 27, 29, 30, 34 καί 43, περί Ἵππας, 48, 51, 53) περί τῶν κοσμογονικῶν ἀπόψεων αὐτῶν (βλέπε ἀποσπασμάτια, 6, 7, 8, 9, 10, 11, 14, 19, 23, 28, 33, 36, 39, καί ἀπό τά ἀνέκδοτα, 7, 11, 18, 20), καί περί τῶν ἠθικῶν καί φιλοσοφικῶν θεωριῶν των (βλέπε ἀποσπασμάτια 11, 19, 24, καί ἀπό τά ἀνέκδοτα ἀριθμούς 3, 13, 18, 22, 24) καί γενικά περί τῶν ἀντιλήψεων τῶν Ὀρφικῶν, ὅπως ἀποδεικνύεται ἄλλως τε καί ἀπό τό περιεχόμενον τῶν ἀποσπασμάτων αὐτῶν, πού παραθέτομεν κατωτέρω.

Ἐπίσης τά ἀποσπασμάτια ὑποβοηθοῦν, ὅπως ἀπεδείχθη, διά τήν πληρεστέραν ἑρμηνείαν, συμπλήρωσιν καί κατανόησιν τῶν ἄλλων διασωθέντων κειμένων τῶν Ὀρφικῶν, ἐνῶ ταυτο-

χρόνως ἐξ αὐτῶν ἀποκαλύπτεται, ὅτι τόσον ὁ Ὅμηρος καί ὁ Ἡσίοδος ὅσον καί ὅλοι οἱ προσωκρατικοί, ἐπίσης καί ὁ Πλάτων, ὁ Ἀριστοτέλης καί ὅλοι οἱ μετέπειτα ἀρχαῖοι Ἕλληνες σοφοί καί συγγραφεῖς, πολλά ἐδανείσθησαν ἤ ἀντέγραψαν ἀπό τούς Ὀρφικούς. (βλέπε ἀποσπασμάτια 18, 19, 31, 32, 41 καί ἀπό τά ἀνέκδοτα, 3, 13, 15, 17, 24, 26, 28, 30, καί 32 κυρίως περί Ὁμήρου, καί 36 περί Ἐμπεδοκλῆ, Ἀναξαγόρου καί Εὐριπίδου), ὅπως ἀναφέρεται καί ἐπισημαίνεται τοῦτο καί εἰς τήν «Γενικήν Εισαγωγήν» αὐτοῦ τοῦ βιβλίου καί εἰς τά σχόλια τῶν «Ὕμνων τοῦ Ὀρφέως».

Πρός τούτοις εἰς τό ἀποσπασμάτιον 19, ὅπως ἀναφέρει καί ὁ Κ. Χασάπης εἰς τήν μελέτην του, πού παραθέτομεν εἰς τά προηγούμενα, ἀποδεικνύεται ὅτι οἱ Ὀρφικοί ἐγνώριζον νά καθορίζουν τάς περιοχάς τῆς γῆς, καί εἰδικῶς τήν εὔκρατον ζώνην τῆς γῆς, αἱ ὁποῖαι ὡς περισσότερον ὠφέλιμοι καί ἀπό πλευρᾶς ὑγείας πρέπει νά προτιμῶνται καί νά κατοικοῦνται ἀπό τούς ἀνθρώπους.

Ι.Δ.Π.

ΠΡΟΚΛΟΥ ΥΜΝΟΙ

ΑΡΧΑΙΟΝ ΚΕΙΜΕΝΟΝ

(Anthol. Palat. Tom. I. VII, 341)

ΑΔΗΛΟΝ

Πρόκλος ἐγώ Λύκιος γενόμην γένος, ὃν Συριανός ἐνθάδ᾽ ἀμοιβόν ἐῆς θρέψε διδασκαλίης.
ξυνός δ᾽ ἀμφοτέρων ὅδε σώματα δέξατο τύμβος, αἴθε δέ καί ψυχάς χῶρος ἕεις λελάχοι.

(1) I.
ΥΜΝΟΣ ΕΙΣ ΗΛΙΟΝ

Κλῦθι πυρός νοεροῦ βασιλεῦ, χρυσήνιε Τιτάν
κλῦθι φάους ταμία, ζωαρκέος, ὦ ἄνα, πηγῆς
αὐτός ἔχων κληῖδα, καί ὑλαίοις ἐνί κόσμοις
ὑψόθεν ἁρμονίης ρύμα πλούσιον ἐξοχετεύων.
κέκλυθι· μεσσατίην γάρ ἔχων ὑπέρ αἰθέρος ἕδρην
καί κόσμου κραδιαῖον ἔχων ἐριφεγγέα κύκλον,
πάντα τεῆς ἔπλησας ἐγερσινόοιο προνοίης.
ζωσάμενοι δέ πλάνητες ἀειθαλέας σέο πυρσούς,
αἰέν ὑπ᾽ ἀλλήκτοισι καί ἀκαμάτοισι χορείαις,

ΠΡΟΚΛΟΥ ΥΜΝΟΙ

ΜΕΤΑΦΡΑΣΙΣ

Ἀδήλου (ἀγνώστου ποιητοῦ) ἐπίγραμμα εἰς τόν Πρόκλον. (Ἐκ τῆς Παλατινῆς Ἀνθολογίας τόμ. I VIII, 341)

Ὁ Πρόκλος εἶμαι ἐγώ, Λύκιος κατά τήν καταγωγήν,
πού μέ ἀνέθρεψε ἐδῶ ὁ Συριανός ὡς διάδοχον τῆς ἰδικῆς του διδασκαλίας·
κοινός δέ αὐτός ὁ τάφος ἐδέχθη τά σώματα καί τῶν δυό μας·
εἴθε καί γιά τίς ψυχές μας νά ἔχῃ τύχει ἕνας κοινός χῶρος.

I
ΥΜΝΟΣ ΕΙΣ ΗΛΙΟΝ

Ἄκουσέ με βασιληᾶ τοῦ νοεροῦ πυρός, ἄκουσέ με Τιτάνα μέ τά χρυσά ἡνία, πού μοιράζεις τό φῶς, σύ, ὦ ἄνακτα, πού κρατεῖς τό κλειδί τῆς πηγῆς, πού διαφυλάσσεις τήν ζωήν, σύ πού κατευθύνεις ἀπό ψηλά στούς ὑλικούς κόσμους (στούς κόσμους τῆς ὕλης) μέ πλήρη καί ἀπόλυτον ἁρμονίαν.
Ἄκουσέ με· διότι ἐσύ, πού κατέχεις τήν μεσαίαν ἕδραν ἐπάνω ἀπό τόν αἰθέρα
καί κατέχεις ἐπίσης τόν κεντρικόν φεγγοβόλον κύκλον τοῦ κόσμου
ἐγέμισες τά πάντα μέ τήν ἰδικήν σου πρόνοιαν, πού διεγείρει τόν νοῦν.
Ἀφοῦ δέ οἱ πλανῆτες (ἀστέρες) ἐζώσθησαν τούς ἰδικούς σου φανούς, τούς πάντοτε φωτεινούς,
στήνοντες πάντοτε ἀδιάκοπους καί ἀκαταπόνητους χορούς,

ζωογόνους πέμπουσιν ἐπιχθονίοις ραθάμιγγας.
πᾶσα δ᾽ ὑφ᾽ ὑμετέρῃσι παλιννόστοισι διφρείαις,
᾽Ωράων κατά θεσμόν, ἀνεβλάστησε γενέθλα.
στοιχείων δ᾽ ὁρυμαγδός ἐπ᾽ ἀλλήλοισιν ἰόντων
παύσατο, σεῖο φανέντος ἀπ᾽ ἀρρήτου γενετῆρος.
σοί δ᾽ ὑπό Μοιράων χορός εἴκαθεν ἀστυφέλικτος·
ἄψ δέ μεταστρωφῶσιν ἀναγκαίης λίνον αἴσης,
εὖτ᾽ ἐθέλεις· πέρι γάρ κρατέεις πέρι δ᾽ ἴφι ἀνάσσεις.
σειρῆς δ᾽ ὑμετέρης βασιλεύς θεοπειθέος οἴμης
ἐξέθορεν Φοῖβος· κιθάρῃ δ᾽ ὕπο θέσκελα μέλπων,
εὐνάζει μέγα κῦμα βαρυφλοίσβοιο γενέθλης.
σῆς δ᾽ ἀπό μειλιχόδωρος ἀλεξικάκου θιασείης
Παιήων βλάστησεν, ἑήν δ᾽ ἐπέτασσεν ὑγείην,
πλήσας ἁρμονίης παναπήμονος εὐρέα κόσμον.
σέ κλυτόν ὑμνείουσι Διωνύσοιο τοκῆα·
ὕλης δ᾽ αὖ νεάτοις ἐνί βένθεσιν εὔϊον Ἄττιν,
ἄλλοι δ᾽ ἀβρόν Ἄδωνιν ἐπευφήμισσαν ἀοιδοί.
δειμαίνουσι δέ σεῖο θοῆς μάστιγος ἀπειλήν
δαίμονες ἀνθρώπων δηλήμονες, ἀγριόθυμοι,
ψυχαῖς ἡμετέραις δειλῶν κακά πορσύνοντες,
ὄφρ᾽ αἰεί κατά λαῖτμα βαρυσμαράγου βιότοιο
σώματος ὀτλεύωσιν ὕπο, ζυγόδεσμα ποθοῦσαι,
ὑψιτενοῦς δέ λάθοιντο πατρός πολυφεγγέος αὐλῆς.
ἀλλά θεῶν πανάριστε, πυριστεφές, ὄλβιε δαῖμον,
εἰκών παγγενέταο θεοῦ, ψυχῶν ἀναγωγεῦ,

στέλλουν εἰς τούς ἀνθρώπους σταγόνες, πού ζωογονοῦν.

Καί κάτω ἀπό τάς ἰδικάς σου διφρηλασίας (τάς καθοδηγήσεις τοῦ ἅρματός σου), πού περιστρέφονται,
σύμφωνα μέ τόν νόμον τῶν Ὡρῶν (τῶν ἐποχῶν) ἐβλάστησε καί πάλιν ὅλη ἡ φύσις.

Κι᾽ ὁ ὁρυμαγδός (ὁ θόρυβος) τῶν στοιχείων (τῆς φύσεως), πού ὁρμοῦν τό ἕνα ἐναντίον τοῦ ἄλλου,
ἐσταμάτησε,
ὅταν ἀνεφάνης ἐσύ (ἐγεννήθης) ἀπό πατέρα ἀνέκφραστον.

Καί εἰς ἐσέ ὑπεχώρησε ὁ χορός τῶν Μοιρῶν, πού εἶναι ἀκλόνητος·
Κι᾽ ὅταν θέλῃς ἐσύ, γυρίζουν (αἱ Μοῖραι) πρός τά πίσω τήν κλωστήν τῆς μοίρας, πού εἶναι καθωρισμένη ἀπό τήν ἀνάγκην· διότι ἐσύ κυριαρχεῖς εἰς τά γύρω καί μέ δύναμιν βασιλεύεις τῶν πάντων.

᾽Από τήν ἰδικήν σου γενεάν ἐξεπήδησεν ὁ Φοῖβος, ὁ βασιλεύς τοῦ τραγουδιοῦ, πού πείθεται ἀπό τόν θεόν· καί μέ τήν κιθάραν τραγουδεῖ ὑπερφυσικά πράγματα
καί καταπραΰνει τό μεγάλο κῦμα τῆς πολυθόρυβης γενεᾶς.

᾽Από τήν ἰδικήν σου πανηγυρικήν εὐθυμίαν, πού ἀποτρέπει τό κακόν, ἐβλάστησεν ὁ Παιήων (ὁ θεός τῶν ἰατρῶν), πού μᾶς προσφέρει εὐχάριστα δῶρα, καί ἅπλωσε (εἰς τόν κόσμον) τήν ἰδικήν μας ὑγείαν, καί ἐγέμισε τόν πλατύν κόσμον μέ τήν ἐπωφελῆ ἁρμονίαν.

᾽Εσένα ἐξυμνοῦν ὡς τόν ἔνδοξον πατέρα τοῦ Διονύσου·
ὡς εὔϊον (ὡς βακχικόν) δέ Ἄττιν εἰς τά ἔσχατα βάθη τῆς ὕλης (τοῦ ὑλικοῦ κόσμου) σέ ἐξυμνοῦν οἱ ἀοιδοί,
καί ἄλλοι σέ ἐξύμνησαν ὡς τρυφερόν Ἄδωνιν.

Φοβοῦνται τήν ἀπειλήν τοῦ ἰδικοῦ σου γρήγορου μαστιγίου οἱ δαίμονες, πού βλάπτουν τούς ἀνθρώπους, οἱ ἀγριόκαρδοι πού παρασκευάζουν κακά εἰς τάς ψυχάς ἡμῶν τῶν δυστυχῶν,
διά νά κακοπαθοῦν πάντοτε ἀπό τό σῶμα εἰς τό βάθος τοῦ πολυθορύβου βίου, ἐπειδή ποθοῦν τά δεσμά τοῦ ζυγοῦ (τοῦ σώματος),
καί διά νά λησμονήσουν τήν πολυφωτισμένην αὐλήν τοῦ πατρός, πού εὑρίσκεται ὑψηλά.

᾽Αλλά σύ, πού εἶσαι ὁ ἄριστος ἀπό ὅλους τούς θεούς καί ἔχεις ὡς στέφανον τό πῦρ, εὐτυχισμένε θεέ,
σύ ἡ εἰκών τοῦ θεοῦ, πού ἐγέννησε τά πάντα, καί ἀνυψώνεις τάς ψυχάς,

κέκλυθι, καί με κάθηρον ἁμαρτάδος αἰέν ἁπάσης·
δέχνυσο δ᾽ ἱκεσίην πολυδάκρυον, ἐκ δ᾽ ἐμέ λυγρῶν
ρύεο κηλίδων, ποινῶν δ᾽ ἀπάνευθε φυλάσσοις,
πρηΰνων θοόν ὄμμα Δίκης, ἥ πάντα δέδορκεν.
αἰεί δ᾽ ὑμετέραισιν ἀλεξικάκοισιν ἀγωγαῖς
ψυχῆ μέν φάος ἀγνόν ἐμῇ πολύολβον ὀπάζοις,
ἀχλύν ἀποσκεδάσας ὀλεσίμβροτον, ἰολόχευτον·
σώματι δ᾽ ἀρτεμίην τε κα ἀγλαόδωρον ὑγείην.
εὐκλείης τ᾽ ἐπίβησον ἐμέ, προγόνων τ᾽ ἐνί θεσμοῖς
Μουσάων ἐρασιπλοκάμων δώροισι μελοίμην.
ὄλβον δ᾽ ἀστυφέλικτον ἀπ᾽ εὐσεβίης ἐρατεινῆς,
εἴ κε θέλῃς, δός, ἄναξ· δύνασαι γάρ ἅπαντα τελέσσαι ῥηϊδίως, κρατερήν ὅς ἔχεις καί ἀπείριτον ἀλκήν.
εἰ δέ τι μοιριδίοισιν ἑλιξοπόροισιν ἀτράκτοις
ἀστεροδινήτοις ὑπό νήμασιν οὐλοόν ἄμμιν ἔρχεται, αὐτός ἔρυκε τεῇ μεγάλῃ τόδε ριπῇ.

(2) II.
ΥΜΝΟΣ ΕΙΣ ΤΑΣ ΜΟΥΣΑΣ

Ὑμνέομεν, μερόπων ἀναγώγιον ὑμνέομεν φῶς,
ἐννέα θυγατέρας μεγάλου Διός ἀγλαοφώνους,
αἵ ψυχάς, κατά βένθος ἀλωομένας βιότοιο,
ἀχράντοις τελετῇσιν ἐγερσινόων ἀπό βίβλων
γηγενέων ρύσαντο δυσαντήτων ὀδυνάων,
καί σπεύδειν ἐδίδαξαν ὑπέρ βαθυχεύμονα λήθην
ἴχνος ἔχειν, καθαράς δέ μολεῖν ποτί σύννομον ἄστρον,
ἔνθεν ἀπεπλάγχθησαν, ὅτ᾽ εἰς γενεθλήϊον ἀκτήν
κάππεσον, ὑλοτραφέσσι περί κλήροισι μανεῖσαι.

ἄκουσέ με καί καθάρισέ με ἀπό κάθε ἁμαρτίαν· καί δέξου τήν ἱκεσίαν μου (τήν παράκλησίν μου), πού συνοδεύεται ἀπό πολλά δάκρυα, καί σῶζέ με ἀπό τάς καταστρεπτικάς κηλῖδας (ἀπό τάς καταστρεπτικάς μολύνσεις - τάς μολύνσεις πού καταστρέφουν τάς ψυχάς), καί διαφύλαξέ με μακρυά ἀπό τάς ποινάς, καταπραΰνων τό ταχύ βλέμμα τῆς Δίκης, ἡ ὁποία βλέπει τά πάντα.

Καί εἴθε μέ τάς ἰδικάς σου πάντοτε καθοδηγήσεις, πού ἀποτρέπουν τό κακόν, νά προσφέρῃς εἰς τήν ψυχήν μου φῶς ἁγνόν, πού παρέχει μεγάλην εὐτυχίαν,
καί νά διασκορπίσῃς τό σκοτάδι, τό καταστρεπτικόν διά τούς ἀνθρώπους, τό γεννημένο ἀπό τό δηλητήριον·
εἰς δέ τό σῶμά μου νά δώσῃς ἀκεραιότητα καί τήν ὑγείαν, πού μᾶς παρέχει λαμπρά δῶρα.
Βοήθησέ με ν᾽ ἀποκτήσω καλήν φήμην καί εἴθε νά φροντίζω γιά τά δῶρα τῶν Μουσῶν πού ἔχουν ἐπέρασται πλοκάμια (ὄμορφα μαλλιά) σύμφωνα μέ τούς νόμους τῶν προγόνων.

Δός μου, ἄνακτα, ἄν θέλῃς, εὐτυχίαν ἀμετακίνητον ἀπό ἐρασμίαν εὐσέβειαν (προερχομένην)· διότι ἠμπορεῖς εὐκόλως νά ἐκτελέσῃς τά πάντα, σύ πού ἔχεις ἰσχυράν καί ἀπέραντον δύναμιν.

Ἐάν ὅμως ἔρχεται ἐναντίον μας κάτι καταστρεπτικόν ἀπό τά περιστρεφόμενα ἀδράχτια τῆς μοίρας κάτω ἀπό νήματα πού κλώθονται ἀπό τήν περιδίνησιν (τήν περιστροφικήν κίνησιν) τῶν ἀστέρων, σύ ὁ ἴδιος ἀπόκρουσέ το αὐτό μέ τήν ἰδικήν σου μεγάλην ὁρμήν.

(2) II.
ΥΜΝΟΣ ΕΙΣ ΤΑΣ ΜΟΥΣΑΣ

Ἐξυμνοῦμεν, τό φῶς ἐξυμνοῦμεν, πού ἐξυψώνει τήν ψυχήν τῶν ἀνθρώπων εἰς τά οὐράνια πράγματα (εἰς τόν οὐρανόν), τάς ἐννέα θυγατέρας μέ τήν λαμπράν φωνήν τοῦ μεγάλου Διός, αἱ ὁποῖαι τάς ψυχάς, πού πλανῶνται εἰς τόν βυθόν τοῦ βίου, τάς διασώζουν ἀπό τίς γήϊνες δυσάρεστες θλίψεις μέ ἀμόλυντες τελετουργίες ἀπό βιβλία, πού διεγείρουν τόν νοῦν.

Καί τίς διδάσκουν νά βαδίζουν ὑπεράνω ἀπό τήν λήθην, πού ἔχει βαθιά ρεύματα, καί νά ἔρχωνται καθαρές πρός τό ἄστρον τό ὅμοιον μέ αὐτές,
ἀπ᾽ ὅπου ἀπεμακρύνθησαν, ὅταν κατέπεσαν εἰς τήν ἀκτήν, ὅπου ἐγεννήθησαν, καί κατελήφθησαν ἀπό μανίαν εἰς μέρος ὑλοθρεμμένο (θρεμμένο μέ τήν ὕλην)

ἀλλά, θεαί, καί ἐμεῖο πολυπτοίητον ἐρωήν
παύσατε, καί νοεροῖς με σοφῶν
βακχεύσατε μύθοις·
μηδέ μ' ἀποπλάγξειεν δεισιθέων γένος ἀνδρῶν
ἀτραπιτοῦ ζαθέης, ἐριφεγγέος, ἀγλαοκάρπου·
αἰεί δ' ἐξ ὁμάδοιο πολυπλάγκτοιο γενέθλης
ἔλκετ' ἐμήν ψυχήν παναλήμονα πρός φάος ἀγνόν,
ὑμετέρων βρίθουσαν ἀεξινόων ἀπό βίβλων,
καί κλέος εὐεπίης φρενοθελγέος αἰέν ἔχουσαν.
κλῦτε θεοί σοφίης ἱερῆς οἴηκας ἔχοντες,
οἵ ψυχάς μερόπων, ἀναγώγιον ἀψάμενοι πῦρ,
ἕλκετ' ἐς ἀθανάτους, σκότιον κευθμῶνα λιποῦσας
ὕμνων ἀρρήτοισι καθηράμενοι τελετῆσι·
κλῦτε σαωτῆρες μεγάλοι, ζαθέων δ' ἀπό βίβλων
νεύσατ' ἐμοί φάος ἀγνόν,
ἀποσκεδάσαντες ὁμίχλην,
ὄφρα κεν εὖ γνώω θεόν ἄμβροτον ἠδέ καί ἄνδρα.
μηδ' ἐμέ ληθαίοις ὑπό χεύμασιν οὐλοά ῥέζων
δαίμων αἰέν ἔχοι, μακάρων ἀπάνευθεν ἐόντα.
μή κρυερῆς γενέθλης ἐνί κύμασι πεπτωκυῖαν
ψυχήν οὐκ ἐθέλουσαν ἐμήν ἐπί δηρόν ἁλᾶσθαι
Ποινή τις κρυόεσσα βίου δεσμοῖσι πεδήσῃ.
ἀλλά θεοί σοφίης ἐριλαμπέος ἡγεμονῆες,
κέκλυτ', ἐπειγομένῳ δέ πρός ὑψιφόρητον ἀταρπόν ὄργια καί τελετάς
ἱερῶν ἀναφαίνετε μύθων.

Ἀλλά, θεαί, καί τήν ἰδικήν μου πολυτάραχον ὁρμήν σταματήσατε, καί κάμετέ με νά ἐνθουσιάζωμαι ἀπό τά νοερά λόγια σοφῶν ἀνθρώπων·
μήτε νά μέ ἀποπλανήσῃ τό γένος δεισιδαιμόνων ἀνθρώπων ἀπό τήν ἱεράν ὁδόν τήν φεγγοβόλον, μέ τούς λαμπρούς καρπούς·
σύρατε τήν ψυχήν μου, πού περιπλανᾶται παντοῦ, πρός τό ἀγνόν φῶς,
γεμάτην ἀπό τά ἰδικά σας βιβλία, πού ἰσχυροποιοῦν τόν νοῦν, καί νά ἔχῃ πάντοτε (ἡ ψυχή μου) τήν δόξαν τῆς καλλιεπείας, πού θέλγει (πού εὐχαριστεῖ) τάς φρένας (τόν νοῦν).
Ἀκούσατέ με σεῖς οἱ θεοί, πού ἔχετε (κρατεῖτε) τά πηδάλια τῆς ἱερᾶς σοφίας, πού σύρετε τάς ψυχάς τῶν ἀνθρώπων, ἀφοῦ ἀνάψετε τό πῦρ, πού ἀνυψώνει τάς ψυχάς εἰς τόν οὐρανόν, εἰς τούς ἀθανάτους θεούς, ἀφοῦ ἐγκαταλείψουν τόν σκοτεινόν κρυψῶνα,
καθαρίζοντες αὐτές μέ τάς ἀνεκφράστους τελετουργίας τῶν ὕμνων (μέ ὑμνητικάς τελετουργίας).
Ἀκούσατέ με, μεγάλοι σωτῆρες, καί συγκατανεύσατε νά ἔλθῃ εἰς ἐμέ τό ἀγνόν φῶς ἀπό τά ἱερά βιβλία, καί διασκορπίσατε τήν ὁμίχλην (ἀπό τά μάτια μου καί τόν νοῦν μου),
διά νά γνωρίσω καλά τόν ἀθάνατον θεόν, ἀκόμη καί τόν ἄνθρωπον. Μήτε νά μέ κρατῇ ὁ δαίμων, πού πράττει πάντα ἔργα καταστρεπτικά, κάτω ἀπό τά ρεύματα τῆς λήθης, μακρυά ἀπό τούς μακαρίους θεούς.
Μήτε τήν ψυχήν, πού ἔχει πέσει εἰς τά κύματα ψυχρᾶς γενεᾶς, τήν ψυχήν τήν ἰδικήν μου, πού δέν θέλει νά περιπλανᾶται ἐπί πολύν χρόνον, νά τήν δεσμεύσῃ κάποια ποινή μέ τά δεσμά τοῦ βίου. Ἀλλά σεῖς οἱ θεοί, πού εἶσθε ἡγεμόνες (ὁδηγοί) τῆς φεγγοβόλου σοφίας, ἀκούσατέ με, καί φανερώσατε τά μυστήρια καί τάς τελετουργίας τῶν ἱερῶν λόγων εἰς ἐμέ, πού σπεύδω (βαδίζω ἐσπευσμένως) πρός τήν ὁδόν, ἡ ὁποία ὁδηγεῖ εἰς τά ὕψη.

(3) III.
ΥΜΝΟΣ ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ

Ὑμνέομεν Λυκίων βασιληΐδα Κουραφροδίτην,
ἧς ποτ' ἀλεξικάκοιο περιπλήθοντες ἀρωγῆς

(3) III.
ΥΜΝΟΣ ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ

Ἐξυμνοῦμεν τήν βασίλισσαν τῶν Λυκίων, τήν παρθένον Ἀφροδίτην, εἰς τήν ὁποίαν κάποτε ἔστησαν εἰς τήν πόλιν ἱερόν ἄγαλμα προ-

πατρίδος ἡμετέρης θεοφράδμονες ἡγεμονῆες
ἱερόν ἱδρύσαντο κατά πτολίεθρον ἄγαλμα,
σύμβολ᾽ ἔχον νοεροῖο γάμου, νοερῶν ὑμεναίων
Ἡφαίστου πυρόεντος ἰδ᾽ οὐρανίης Ἀφροδίτης·
καί ἐν θεήν ὀνόμηναν Ὀλύμπιον, ἧς διά κάρτος
πολλάκι μέν θανάτοιο βροτοφθόρον ἔκφυγον ἰόν,
ἐς δ᾽ ἀρετήν ἔχον ὄμμα· τελεσσιγόνων δ᾽ ἀπό λέκτρων
ἔμπεδος ἀγλαόμητις ἀνασταχύεσκε γενέθλη,
πάντη δ᾽ ἠπιόδωρος ἔην βιότοιο γαλήνη.
ἀλλά καί ἡμετέρης ὑποδέχνυσο, πότνα, θυηλήν
εὐεπίης· Λυκίων γάρ ἀφ᾽ αἵματος εἰμί καί αὐτός.
ψυχήν δ᾽ ἄψ ἀνάειρον ἀπ᾽ αἴσχεος ἐς πολύ κάλλος,
γηγενέος προφυγοῦσαν ὀλοίϊον οἶστρον ἐρωῆς.

(4) IV.
ΥΜΝΟΣ ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ Β.

Ὑμνέομεν σειρήν πολυώνυμον Ἀφρογενείης
καί πηγήν μεγάλην βασιλήϊον, ἧς ἄπο πάντες
ἀθάνατοι πτερόεντες ἀνεβλάστησαν Ἔρωτες·
ὧν οἱ μέν νοεροῖσιν ὀϊστεύουσι βελέμνοις
ψυχάς, ὄφρα πόθων ἀναγώγια κέντρα λαχοῦσαι
μητέρος ἰσχανόωσιν ἰδεῖν πυριφεγγέας αὐλάς·
οἱ δέ πατρός βουλῇσιν, ἀλεξικάκοις τε προνοίαις,
ἱέμενοι γενεῇσιν ἀπείρονα κόσμον ἀέξειν,
ψυχαῖς ἵμερον ὦρσαν ἐπιχθονίου βιότοιο.
ἄλλοι δ᾽ ἐγγαμίων ὀάρων πολυειδέας οἴμους
αἰέν ὀπιπτεύουσιν, ὅπως θνητῆς ἀπό φύτλης
ἀθάνατον τεύχωσι δυηπαθέων γένος ἀνδρῶν·

φητικοί ἡγεμόνες ἀπό τήν ἰδικήν μας πατρίδα,
πού ἦσαν γεμάτοι ἀπό τήν ἐπιθυμίαν νά προσφέρουν βοήθειαν, πού ἀποτρέπει τό κακόν·
(καί ἔστησαν τό ἄγαλμα) ὡς σύμβολον (ὡς σημεῖον) τοῦ νοεροῦ γάμου καί τῶν νοερῶν ὑμεναίων
τοῦ φλογεροῦ Ἡφαίστου καί τῆς οὐρανίας Ἀφροδίτης·
καί αὐτήν τήν ὠνόμασαν θεάν Ὀλυμπίαν, καί χάρις στήν δύναμίν της πολλές φορές ἐξέφυγα ἀπό τό βέλος τοῦ θανάτου, πού καταστρέφει (πού σκοτώνει) τούς ἀνθρώπους,
καί εἶχα τά μάτια μου ἑστραμμένα πρός τήν ἀρετήν· ἀπό δέ τά κρεββάτια, ὅπου τελειώνουν οἱ τοκετοί,
ἐξεφύτρωνε σάν στάχυς στερεά μέ λαμπράν σοφίαν γενεά,
καί παντοῦ ἐπικρατοῦσε εἰρήνη τοῦ βίου, πού προσφέρει ἤπια δῶρα.
Ἀλλά, σεβαστή θεά, δέξου τήν θυσίαν (τήν προσφοράν) καί τῆς ἰδικῆς μου καλλιεπείας· διότι καί ἐγώ κατάγομαι ἀπό τό αἷμα τῶν Λυκίων. Ὕψωσε πάλιν τήν ψυχήν μου ἀπό τήν ἀσχημίαν εἰς τήν πολλήν ὁμορφιά
καί βοήθησε νά ξεφύγῃ προηγουμένως ἀπό τήν μανιακήν ἐπιθυμίαν, πού εἶναι γέννημα τῆς γῆς.

(4)IV
ΥΜΝΟΣ ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ Β.

Ἐξυμνοῦμεν τήν γενεάν, πού ἔχει πολλά ὀνόματα, τῆς Ἀφρογενείας (τῆς Ἀφροδίτης), καί τήν μεγάλην βασιλικήν πηγήν, ἀπό ὅπου ἐβλάστησαν ὅλοι οἱ ἀθάνατοι πτερωτοί Ἔρωτες·
ἀπό αὐτούς (τούς Ἔρωτας) ἄλλοι μέν τοξεύουν τάς ψυχάς μέ βέλη νοερά (διανοητικά), διά νά ἔχουν αὐτές τήν μεγάλην ἐπιθυμίαν νά ἴδουν τάς φεγγοβόλους αὐλάς τῆς μητέρας των, ἀφοῦ ἐπιτύχουν νά λάβουν κεντρίσματα πόθων, πού ὁδηγοῦν πρός τά ὑψηλά·
ἄλλοι δέ ἐπιβλέπουν πάντοτε τούς πολυειδεῖς τρόπους τῶν ἐγγάμων ἐρωτικῶν συνομιλιῶν,
διά νά φτιάξουν ἀπό θνητή φύτρα ἀθάνατον τό γένος τῶν δυστυχῶν ἀνθρώπων·

πᾶσιν δ᾽ ἔργα μέμηλεν ἐρωτοτόκου
Κυθερείης.
ἀλλά θεά, πάντη γάρ ἔχεις ἀριήκοον
οὖας,
εἴτε περισφίγγεις μέγαν Οὐρανόν, ἔνθα
σέ φασιν
ψυχὴν ἀενάου πέμπειν κόσμοιο θεείην·
εἴτε καί ἑπτά κύκλων ὑπέρ ἄντυγας
αἰθέρι ναίεις,
σειραῖς ἡμετέραις δυνάμεις προχέουσ᾽
ἀδαμάστους·
κέκλυθι, καί πολύμοχθον ἐμήν βιότοιο
πορείην
ἰθύνοις σέο, πότνα, δικαιοτάτοισι
βελέμνοις,
οὐχ ὁσίων παύουσα πόθων κρυόεσσαν
ἐρωήν.

κι᾽ ὅλοι ἐνδιαφέρονται διά τά ἔργα τῆς Κυθερείας (τῆς Ἀφροδίτης), πού γεννᾷ τόν ἔρωτα.
Ἀλλά σύ, θεά, ἄκουσέ με, διότι ἔχεις παντοῦ (πρός ὅλα τά μέρη) αὐτιά μέ ὀξυτάτην ἀκοήν,
εἴτε περισφίγγεις τόν μέγαν Οὐρανόν, ὅπου λέγουν ὅτι ἐσύ στέλνεις τήν θεϊκήν ψυχήν τοῦ αἰωνίου κόσμου·
εἴτε κατοικεῖς εἰς τόν αἰθέρα ὑπεράνω ἀπό τάς πορείας τῶν ἑπτά κύκλων,
καί ξεχύνεις ἀδάμαστους δυνάμεις εἰς τίς δικές μας γενεές·
ἄκουσέ με, καί κατεύθυνε, σεβαστή θεά, τήν πολύμαθη πορείαν τοῦ βίου μου μέ δικαιότατα βέλη,
καί νά καταπαύῃς τήν παγεράν ὁρμήν πρός ἀνοσίους πόθους.

(5) V.
ΕΚΑΤΗΣ ΚΑΙ ΙΑΝΟΥ

Χαῖρε, θεῶν μῆτερ, πολυώνυμε,
καλλιγένεθλε·
χαῖρ᾽ Ἑκάτη προθυραία, μεγάσθενες·
ἀλλά καί αὐτός
χαῖρ᾽, Ἴανε, πρόπατορ, Ζεῦ ἄφθιτε·
χαῖρ᾽, ὕπατε Ζεῦ.
τεύχετε δ᾽ αἰγλήεσσαν ἐμοῦ βιότοιο
πορείην
βριθομένην ἀγαθοῖσι· κακάς δ᾽
ἀπελαύνετε νούσους
ἐκ ρεθέων, ψυχήν δέ περί χθονί
μαργαίνουσαν
ἕλκετ᾽ ἐγερσινόοισι καθηραμένην
τελετῇσι.
ναί, λίτομαι, δότε χεῖρα, θεοφραδέας τε
κελεύθους
δείξατέ μοι χατέοντι· φάος δ᾽ ἐρίτιμον
ἀθρήσω,
κυανέης ὄθεν ἐστί φυγεῖν κακότητα
γενέθλης.
ναί, λίτομαι, δότε χεῖρα, καί ὑμετέροισιν
ἀήταις
ὅρμον ἐς εὐσεβίης με πελάσσετε
κεκμηῶτα.
χαῖρε, θεῶν μῆτερ, πολυώνυμε,
καλλιγένεθλε·
χαῖρ᾽ Ἑκάτη προθυραία, μεγάσθενες·
ἀλλά καί αὐτός

(5) V.
ΕΚΑΤΗΣ ΚΑΙ ΙΑΝΟΥ

Χαῖρε, μητέρα τῶν θεῶν μέ τά πολλά ὀνόματα καί μέ τά ὡραῖα παιδιά.
Χαῖρε, Ἑκάτη πού στέκεσαι ἐμπρός ἀπό τίς θύρες, μεγαλοδύναμη· ἀλλά καί σύ χαῖρε, Ἰανέ, πρόγονέ μας, Δία ἀθάνατε· χαῖρε, ὕψιστε Δία.
Εἴθε νά παρασκευάσετε λαμπρόν τόν δρόμον τοῦ βίου μου, γεμάτον ἀπό ἀγαθά· καί ἀποδιώξατε ἀπό τό σῶμά μου τίς καταστρεπτικές ἀσθένειες,
καί σύρατε τήν ψυχήν μου, πού μαίνεται γύρω εἰς τήν γῆν, ἀφοῦ τήν καθαρίσετε μέ τελετουργίας, πού διεγείρουν τόν νοῦν (πρός τά καλά).
Ναί σᾶς παρακαλῶ, δόστε μου χέρι (βοηθήσατέ με) καί δείξατέ μου, ἐπειδή αὐτό ἐπιθυμῶ, τούς δρόμους, πού εἶπαν οἱ θεοί· καί νά ἀτενίσω τό πολύτιμο φῶς,
ἀπό ὅπου θά ἠμπορέσω νά ξεφύγω ἀπό τήν κακότητα τῆς μαύρης γενεᾶς.
Ναί, σᾶς παρακαλῶ, δόστε μου χέρι, καί ἐμέ τόν κουρασμένον βοηθήσατε μέ τούς ἰδικούς σας ἀνέμους νά προσεγγίσω εἰς τό λιμάνι τῆς εὐσεβείας.
Χαῖρε, μητέρα τῶν θεῶν, μέ τά πολλά ὀνόματα καί μέ τά ὡραῖα παιδιά.
Χαῖρε, Ἑκάτη, πού στέκεσαι, εἰς τίς θύρες,

χαῖρ' Ἴανε, πρόπατορ, Ζεῦ ἄφθιτε·
χαῖρ', ὕπατε Ζεῦ.

μεγαλοδύναμη· ἀλλά καί σύ χαῖρε, Ἰανέ, πρόγονέ μας, ἀθάνατε Δία, ἀνώτατε Δία.

(6) VI.
ΕΙΣ ΑΘΗΝΑΝ ΠΟΛΥΜΗΤΙΝ

Κλῦθί μοι, αἰγιόχοιο Διός τέκος, ἥ γενετῆρος
πηγῆς ἐκπροθοροῦσα, καί ἀκροτάτης ἀπό σειρῆς,
ἀρσενόθυμε, φέρασπι, μεγάσθενες, ὀβριμοπάτρη,
παλλάς, τριτογένεια, δορυσσόε, χρυσεοπήληξ,
κέκλυθι· δέχνυσο δ' ὕμνοιν εὐφρονι, πότνια, θυμῷ·
μήδ' αὔτως ἀνέμοισιν ἐμόν ποτε μῦθον ἐάσῃς.
ἥ σοφίης πετάσασα θεοστιβέας πυλεῶνας,
καί χθονίων δαμάσασα θεήμαχα φῦλα γιγάντων.
ἥ πόθον Ἡφαίστοιο λιλαιομένοιο φυγοῦσα,
παρθενίης ἐφύλαξας ἑῆς ἀδάμαντα χαλινόν.
ἥ κραδίην ἐσάωσας ἀμιστύλλευτον ἄνακτος
αἰθέρος ἐν γυάλοισι, μεριζομένου ποτέ Βάκχου
Τιτήνων ὑπό χερσί. πόρες δέ ἑ πατρί φέρουσα,
ὄφρα νέος βουλῇσιν ὑπ' ἀρρήτοισι τοκῆος
ἐκ Σεμέλης περί κόσμον ἀναβήσῃ Διόνυσος.
ἧς πέλεκυς θήρεια ταμών προθέλυμνα κάρηνα,
πανδερκοῦς Ἑκάτης παθέων ηὔνασσε γενέθλην.
ἥ κράτος ἤραο σεμνόν ἐγερσιβρότων ἀρετάων.
ἥ βίοτον κόσμησας ὅλον πολυειδέσι τέχναις,
δημιοεργείην νοερήν ψυχαῖσι βαλοῦσα.
ἥ λάχες ἀκροπόλοια καθ' ὑψιλόφοιο κολώνης,
σύμβολον ἀκροτάτης μεγάλης σέο, πότνια, σειρῆς·

(6) VI.
ΕΙΣ ΑΘΗΝΑΝ ΠΟΛΥΜΗΤΙΝ

Ἄκουσέ με, τέκνον τοῦ Διός, πού ἔχεις ἀσπίδα, σύ πού ἐξεπήδησες ἀπό τήν πηγήν τοῦ πατρός (πού ἐγεννήθης ἀπό τόν πατέρα σου) καί ἀπό παλαιοτάτην γενεάν,
σύ μέ τήν ἀρσενική καρδιά, πού φέρεις ἀσπίδα, μεγαλοδύναμη, πού εἶσαι ἀπό ἰσχυρόν πατέρα,
ἡ Παλλάς, ἡ Τριτογένεια, πού πάλλεις τό δόρυ καί ἔχεις χρυσῆν περικεφαλαίαν,
ἄκουσέ με· δέξου τόν ὕμνον, σεβαστή θεά, μέ εὐφρόσυνη καρδιά· σύ πού ἄνοιξες τίς πύλες τοῦ βασιλικοῦ οἴκου τῆς σοφίας, πού πατήθηκαν ἀπό τούς θεούς, (πού ἔχουν ἐγκατασταθῆ οἱ θεοί) καί κατενίκησες τά φῦλα (τά πλήθη) τῶν γηΐνων γιγάντων, πού ἐμάχοντο ἐναντίον τῶν θεῶν,
σύ πού διέφυγες τόν πόθον τοῦ Ἡφαίστου, ὁ ὁποῖος σέ ἐπιθυμοῦσε, καί διεφύλαξες ἀδάμαστον (ἀκαταμάχητον) τό χαλινάρι τῆς παρθενίας σου (τῆς παρθενικότητός σου).
Σύ διέσωσες ἀτεμάχιστη τήν καρδιά τοῦ ἄνακτα Βάκχου εἰς τά κοιλώματα τοῦ αἰθέρος, ὅταν κάποτε κατετεμαχίζετο ἀπό τά χέρια τῶν Τιτάνων· καί τήν ἔφερες (τήν καρδιά) καί τήν ἔδωσες εἰς τόν πατέρα σου,
διά νά ξαναγεννηθῇ ἔφηβος εἰς τόν κόσμον ἀπό τήν Σεμέλην ὁ νέος Διόνυσος συμφώνως πρός τίς ἀνέκφραστες βουλές τοῦ πατρός σου.
Ὁ ἰδικός σου πέλεκυς κατέκοψε πρόρριζα τάς θηριώδεις κεφαλάς (τῶν παθῶν) καί κατεπράϋνε ἀπό τά πάθη τήν γενεάν (τήν οἰκογένειαν) τῆς Ἑκάτης, πού βλέπει τά πάντα.
Σύ ὕψωσες τήν σεμνήν κυριαρχίαν τῶν ἀρετῶν, πού διεγείρουν (παρακινοῦν) τούς ἀνθρώπους (εἰς καλάς πράξεις).
Ἐσύ διεκόσμησες (ἐστόλισες) ὅλον τόν βίον (τῶν ἀνθρώπων) μέ πολυειδεῖς τέχνας (τέχνας πολλῶν εἰδῶν)
καί ἐνέβαλες εἰς τάς ψυχάς των τήν νοεράν δημιουργικήν ἱκανότητα (τήν ἱκανότητα τῆς δημιουργίας μέ τόν νοῦν - τήν διάνοιαν). Σύ ἔλαχες (ἐκέρδισες, ἔλαβες μέ κλῆρον) τήν ἀκρόπολιν ἐπάνω εἰς ὑψηλόν λόφον,
ὡς σύμβολον (ὡς σημεῖον) τῆς ἰδικῆς σου, σεβαστή θεά, ὑψηλοτάτης μεγάλης γενεᾶς·

ἥ χθόνα σωτιάνειραν ἐφίλαο, μητέρα βίβλων,
πατροκασιγνήτοιο βιασαμένη πόθον ἱρόν,
οὔνομα δ᾽ ἄστεϊ δῶκας ἔχειν σέο, καί φρένας ἐσθλάς
ἔνθα μάχης ἀρίδηλον, ὑπό σφυρόν οὔρεος ἄκρον
σῆμα καί ὀψιγόνοισιν ἀνεβλάστησας ἐλαίην·
εὖτ᾽ ἐπί Κεκροπίδῃσι Ποσειδάωνος ἀγωγῇ
μυρίον ἐκ πόντοιο κυκώμενον ἤλυθε κῦμα,
πάντα πολυφλοίσβοισιν ἐοῖς ρεέθροισιν ἰμάσσον.
κλῦθί μευ, ἥ φάος ἀγνόν ἀπαστράπτουσα προσώπῳ,
δός δέ μοι ὄλβιον ὅρμον ἀλωομένῳ περί γαῖαν·
δός ψυχῇ φάος ἀγνόν ἀπ᾽ εὐῖέρων σέο μύθων,
καί σοφίην καί ἔρωτα· μένος δ᾽ ἐμπνευσον ἔρωτι
τοσσάτιον καί τοῖον, ὅσον χθονίων ἀπό κόλπων
αὖ ἐρύσει πρός Ὄλυμπον, ἐς ἤθεα πατρός ἑῆος.
εἰς δέ τις ἀμπλακίη με κακή βιότοιο δαμάζει,
οἶδα γάρ, ὡς πολλοῖσιν ἐρέχθομαι ἄλλοθεν ἄλλαις
πρήξεσιν, οὐχ ὁσίαις, τάς ἤλιτον ἄφρονι θυμῷ·
ἴλαθι, μειλιχόβουλε, σαόμβροτε, μηδέ μ᾽ ἐάσῃς
ριγεδαναῖς ποιναῖσιν ἕλωρ καί κύρμα γενέσθαι,
κείμενον ἐν δαπέδοισιν, ὅτι τεός εὔχομαι εἶναι.
δός γυάλοις μελέων σταθερήν καί ἀπήμον᾽ ὑγείην,
σαρκοτάκων δ᾽ ἀπέλαυνε πικρῶν ἀγελάσματα νούσων,
ναί, λίτομαι βασίλεια, καί ἀμβροσίῃ σέο χειρί
παῦσον ὅλην κακότητα μελαινάων ὀδυνάων.
δός βιότῳ πλώοντι γαληνιόωντας ἀήτας,
τέκνα, λέχος, κλέος ὄλβιον, εὐφροσύνην ἐρατεινήν,
Σύ ἀγάπησες τήν γῆν (τήν περιοχήν), πού σώζει τούς ἀνθρώπους, τήν μητέρα τῶν ἀρχαίων παραδόσεων,
καί κατέβαλες (κατενίκησες) μέ τήν δύναμίν σου τήν ἱεράν ἐπιθυμίαν τοῦ ἀδελφοῦ τοῦ πατρός σου (τοῦ Ποσειδῶνος)·
καί ἐπέτρεψες εἰς τήν πόλιν νά ἔχῃ τό ἰδικόν σου ὄνομα καί ὑγιεῖς σκέψεις,
ὅπου κάτω εἰς τό ἄκρον τῶν ὑπωρειῶν τοῦ βουνοῦ ὡς φανερώτατον σημεῖον (σημάδι) τῆς μάχης (πού ἔγινε) καί διά τούς μεγαγενεστέρους ἔκαμες νά βλαστήσῃ ἡ ἐλαιά·
ὅταν ἐπί τῆς ἐποχῆς τῶν ἀπογόνων τοῦ Κέκροπος ὑπό τήν καθοδήγησιν τοῦ Ποσειδῶνος ἐπῆλθον (κατά τῆς Ἀττικῆς) ἀπό τήν θάλασσαν ἀπειράριθμα κύματα ἀναταρασσόμενα,
τά ὁποῖα ἐμαστίγωναν τά πάντα μέ τά πολυθόρυβα ἰδικά των ρεύματα.
Ἄκουσέ με, ἐσύ πού σπινθηροβολεῖς ἀπό τό πρόσωπόν σου ἀγνόν φῶς,
δόσε μου εὐτυχῆ λιμένα (εὐτυχές καταφύγιον) εἰς ἐμέ, πού περιπλανῶμαι εἰς τήν γῆν·
δόσε εἰς τήν ψυχήν μου ἀγνόν φῶς ἀπό τούς ἰδικούς σου λόγους, τούς πολύ ἱερούς,
ἀκόμη δόσε μου καί σοφίαν καί ἔρωτα· καί νά ἐμπνεύσῃς (νά ἐμφυσήσῃς ἐνδιαφέρον), εἰς τόν ἔρωτά μου
τόσην καί τέτοια δύναμιν, ὅση εἶναι ἀρκετή νά μέ σύρῃ ἀπό τούς κόλπους τῆς γῆς εἰς τόν Ὄλυμπον, εἰς τά ἐνδιαιτήματα (τήν κατοικίαν) τοῦ εὐγενοῦς πατρός σου.
Ἐάν ὅμως κάποια ἁμαρτία κακή κατά τόν βίον μου μέ βαρύνῃ, διότι γνωρίζω, ὅτι βασανίζομαι ἀπό πολλές ἀνόσιες πράξεις, ἄλλες ἀπό ἐδῶ καί ἄλλες ἀπό ἐκεῖ, τάς ὁποίας διέπραξα ἐξ ἀφροσύνης, ἐσύ δεῖξέ μου πραότητα, σύ πού ἔχεις μειλίχιες σκέψεις καί σώζεις τούς ἀνθρώπους, καί μή μ᾽ ἀφήσῃς
νά γίνω λεία καί λάφυρον εἰς τίς παγερές ποινές καί νά κατάκειμαι εἰς τό δάπεδον (νά σύρωμαι εἰς τήν γῆν), διότι καυχῶμαι ὅτι εἶμαι ἰδικός σου.
Δόσε εἰς τά κοιλώματα τῶν μελῶν τοῦ σώματός μου σταθεράν (μόνιμον) καί ἀκεραίαν ὑγείαν,
καί διῶξε τά κοπάδια τῶν πικρῶν ἀσθενειῶν, πού λυώνουν τίς σάρκες·
ναί, σέ παρακαλῶ βασίλισσα, καί μέ τό δικό σου ἀθάνατο χέρι
κατάπαυσε ὅλην τήν κακοπάθειαν, πού προέρχεται ἀπό μαῦρες θλίψεις.
Δός μου κατά τόν πλοῦν (τό ταξίδι) τοῦ βίου γαληνεμένους ἀνέμους, τέκνα, σύζυγον, φήμην εὐτυχισμένην, ἀξιέραστον χαράν, πειστι-

πειθώ στωμυλίην φιλίης, νόον ἀγκυλομήτην,
κάρτος ἐπ' ἀντιβίοισι, προεδρίην ἐνί λαοῖς.
Κέκλυθι, κέκλυθ' ἄνασσα, πολύλλιστος δέ σ' ἱκάνω
χρειοῖ ἀναγκαίῃ· σύ δέ μείλιχον οὖας ὑπόσχες.

κότητα εὔγλωττον τῆς φιλίας, νοῦν ἔξυπνον, δύναμιν ἐναντίον τῶν ἐχθρῶν, τήν πρώτην θέσιν μεταξύ τοῦ πλήθους.
Ἄκουσέ με, ἄκουσέ μέ βασίλισσα, προσέρχομαι εἰς ἐσένα μέ πολλάς παρακλήσεις (σοῦ ὑποβάλλω πολλάς παρακλήσεις) λόγῳ σκληρᾶς ἀνάγκης, σύ δέ μέ συγκατάβασιν πρόσεξέ με.

ΣΧΟΛΙΑ

Ὁ Πρόκλος θεωρεῖται ἀπό τούς σημαντικωτέρους Νεοπλατωνικούς φιλοσόφους. Τά ὑπομνήματά του εἰς ἔργα τοῦ Πλάτωνος εἶναι ὄχι μόνον ἐμπεριστατωμένα, ἐνδιαφέροντα καί ἀρκετά ἀναλυτικά, ἀλλά καί πρωτότυπα. Ἐάν κρίνωμεν ἀπό τά «ἀποσπασμάτια» τοῦ Ὀρφέως, πού διέσωσεν, καί ἀπό τάς συγκρίσεις πού ἐπεχείρησεν ὡρισμένων κειμένων τῶν Ὀρφικῶν μέ τά κείμενα τοῦ Πλάτωνος, ἀναδεικνύεται καί πνεῦμα ὀξύτατον καί ἐρευνητικόν, ἀφοῦ καί εἰς αὐτόν ὀφείλομεν τήν διαπίστωσιν, ὅτι καί ὁ Πλάτων εἶχε δανεισθῆ ἀπόψεις ἀπό τούς Ὀρφικούς, ὅπως ἀπό τόν Τζέτζην γνωρίζομεν τήν φανεράν λεηλασίαν τοῦ Ὀρφέως ἀπό τόν Ὅμηρον καί τόν Ἡσίοδον.

Τούς «Ὕμνους» του ὁ Πρόκλος τούς ἔγραψε ἐμφανῶς κατά τήν μέθοδον τοῦ Ὀρφέως καί ἐπηρεαζόμενος ἴσως ἀπό συνήθειαν τῆς ἐποχῆς του, διότι πράγματι οἱ Ὕμνοι τίποτε τό νέον δέν προσφέρουν διά τήν ἑρμηνείαν τῶν Ὀρφικῶν, ἐνῶ ἀντιθέτως τά Ὑπομνήματά του εἰς τόν Πλάτωνα εἶναι ὑψίστης ὠφελείας, ἀφοῦ, ὅπως ἀνεφέρθη, καί ἀποδεικνύεται τοῦτο καί ἀπό τά κείμενα τῶν Ὀρφικῶν, διέσωσε δι' αὐτῶν σημαντικάς ἀπόψεις τῶν Ὀρφικῶν ἀγνώστους ἀπό ἄλλας πηγάς.

Ι.Δ.Π.

ΜΟΥΣΑΙΟΥ

ΤΑ ΚΑΘ'

ΗΡΩ ΚΑΙ ΛΕΑΝΔΡΟΝ

ΑΡΧΑΙΟΝ ΚΕΙΜΕΝΟΝ

στίχοι 1-25

Εἰπέ, θεά, κρυφίων ἐπιμάρτυρα λύχνον ἐρώτων,
καί νύχιον πλωτῆρα θαλασσοπόρων ὑμεναίων,
καί γάμον ἀχλυόεντα, τόν οὐκ ἴδεν ἄφθιτος Ἠώς,
καί Σηστόν καί Ἄβυδον, ὅπῃ γάμος ἔννυχος Ἡροῦς.
νῃχόμενόν τε Λέανδρον ὁμοῦ καί λύχνον ἀκούω,
λύχνον ἀπαγγέλλοντα διακτορίην Ἀφροδίτης,
Ἡροῦς νυκτιγάμοιο γαμοστόλον ἀγγελιώτην,
λύχνον, ἔρωτος ἄγαλμα, τόν ὤφελεν αἰθέριος
Ζεύς ἐννύχιον μετ' ἄεθλον ἄγειν ἐς ὁμήγυριν ἄστρων,
καί μιν ἐπικλῆσαι νυμφοστόλον ἄστρον ἐρώτων,
ὅττι πέλεν συνέριθος ἐρωμανέων ὀδυνάων·
ἀγγελίην τ' ἐφύλαξεν ἀκοιμήτων ὑμεναίων,
πρίν χαλεπόν πνοιῇσιν ἀήμεναι ἐχθρόν ἀήτην.
ἀλλ' ἄγε μοι μέλποντι μίαν συνάειδε τελευτήν

ΜΟΥΣΑΙΟΥ

ΤΑ ΚΑΘ'

ΗΡΩ ΚΑΙ ΛΕΑΝΔΡΟΝ

ΜΕΤΑΦΡΑΣΙΣ

στίχοι 1-25

Τραγούδησε, θεά, τόν λύχνον, τόν μάρτυρα κρυφῶν ἐρώτων,
καί τόν νυκτερινόν κολυμβητήν τῶν νυμφικῶν τραγουδιῶν, πού διαπλέουν τήν θάλασσαν,
καί τόν σκοτεινόν γάμον, πού δέν τόν εἶδε ἡ ἀθάνατη Ἠώς (ἡ αὐγή),
καί τήν Σηστόν καί τήν Ἄβυδον, ὅπου ἔγινε ὁ νυκτερινός γάμος τῆς Ἡροῦς.
Ἀκούω μαζί τόν Λέανδρον, πού κολυμβᾷ, καί τόν λύχνον,
τόν λύχνον πού ἀναγγέλλει τήν ὑπηρεσίαν (τήν ἐκδούλευσιν) τῆς Ἀφροδίτης,
τόν ἀγγελιαφόρον, πού ἑτοιμάζει τόν γάμον τῆς Ἡροῦς, ἡ ὁποία παντρεύεται τήν νύκτα,
τόν λύχνον, τήν χαράν τοῦ ἔρωτος, τόν ὁποῖον μακάρι νά ὡδηγοῦσε ὁ αἰθέριος Ζεύς ὕστερα ἀπό τόν νυκτερινόν ἄθλον (τό νυκτερινόν κατόρθωμα) εἰς τήν συνάθροισιν τῶν ἄστρων, καί νά ἀποκαλέσῃ αὐτόν νυμφικόν ἄστρον τῶν ἐρώτων, διότι ὑπῆρξε βοηθός (ὁ λύχνος) ἐρωτομανῶν πόνων·
καί διεφύλαξε τήν ἀγγελίαν (τήν ἀποστολήν του ὡς ἀγγελιαφόρου) τῶν ἀκατασιγάστων ἐρώτων,
μέχρις ὅτου ἐφύσηξε φοβερός ἐχθρικός ἄνεμος.
Ἀλλ' ἔλα, θεά, τραγούδησε μαζί μ' ἐμένα

λύχνου σβεννυμένοιο καί ὀλλυμένοιο Λεάνδρου.

Σηστός ἔην καί Ἄβυδος ἐναντίον, ἐγγύθι πόντου,
γείτονες εἰσι πόληες· Ἔρως δ', ἀνά τόξα τιταίνων,
ἀμφοτέρῃσι πτολίεσσιν ἕνα ξυνέηκεν ὀϊστόν,
ἠΐθεον φλέξας καί παρθένον· οὔνομα δ' αὐτῶν
ἱμερόεις τε Λέανδρος ἔην, καί παρθένος Ἠρώ.
ἡ μέν Σηστόν ἔναιεν, ὁ δέ πτολίεθρον Ἀβύδου,
ἀμφοτέρων πολίων περικαλλέες ἀστέρες ἄμφω,
εἴκελοι ἀλλήλοισι. σύ δ', εἴ ποτε κεῖθι περήσεις,
δίζεό μοί τινα πύργον, ὅπῃ ποτέ Σηστιάς Ἠρώ
ἵστατο, λύχνον ἔχουσα, καί ἡγεμόνευε Λεάνδρῳ·

στίχοι 26-54

δίζεο δ' ἀρχαίης ἁλιηχέα πορθμόν Ἀβύδου,
εἰσέτι που κλαίοντα μόρον καί ἔρωτα Λεάνδρου.
ἀλλά ποθέν Λείανδρος, Ἀβυδόθι δώματα ναίων,
Ἠροῦς ἐς πόθον ἦλθε, πόθῳ δ' ἑνέδησε καί
αὐτήν,
Ἠρώ μέν χαρίεσσα, διοτρεφές αἷμα λαχοῦσα,
Κύπριδος ἦν ἱέρεια, γάμων δ' ἀδίδακτος ἐοῦσα,
πύργον ἀπό προγόνων παρά γείτονι ναῖε θαλάσσῃ,
ἄλλη Κύπρις ἄνασσα· σαοφροσύνῃ δέ καί αἰδοῖ
οὐδέποτ' ἀγρομένῃσι μεθωμίλησε γυναιξίν,
οὐδέ χορόν χαρίεντα μετήλυθεν ἥλικος ἥβης,
μῶμον ἀλευομένη ζηλήμονα θηλυτεράων·
καί γάρ ἐπ' ἀγλαΐῃ ζηλήμονές εἰσι γυναῖκες·
ἀλλ' αἰεί Κυθέρειαν ἱλασκομένη Ἀφροδίτην,
τό σύγχρονο τέλος τοῦ λύχνου, πού ἔσβησε, καί τοῦ Λεάνδρου, πού χάθηκε.

Ἡ Σηστός καί ἡ Ἄβυδος ἦσαν ἀπέναντι, πλησίον εἰς τήν θάλασσαν, καί εἶναι πόλεις γειτονικαί· ὁ δέ Ἔρως, τεντώνοντας τά τόξα του, ἔρριξε ἕνα βέλος ἐναντίον καί τῶν δύο πόλεων
κι' ἐφλόγισε ἕνα νέον καί μίαν παρθένον· καί τό ὄνομά των ἦτο Λέανδρος ὁ θελκτικός καί ἡ παρθένος Ἠρώ.

Καί ἡ μέν Ἠρώ κατοικοῦσε εἰς τήν Σηστόν, ὁ δέ Λέανδρος εἰς τήν πόλιν τῆς Ἀβύδου,
καί ἦσαν καί οἱ δύο των πανέμορφα ἀστέρια εἰς τάς δύο πόλεις,
ὅμοια μεταξύ των. Ἐσύ δέ, ἐάν κάποτε περάσῃς ἀπό ἐκεῖ,
νά ἀναζητήσῃς γιά χάρι μου κάποιον πύργον, ὅπου κάποτε ἐστέκετο ἡ Σηστιάς (ἡ ἐκ Σηστοῦ καταγομένη) Ἠρώ, κρατοῦσα στά χέρια ἕνα λύχνον, καί καθωδηγοῦσε τόν Λέανδρον·

στίχοι 26-54

ν' ἀναζητήσῃς ἐπίσης τόν πορθμόν (τό πέρασμα) τῆς ἀρχαίας Ἀβύδου, πού ἀκούεται ὁ θόρυβος τῆς θαλάσσης, ὅταν εἶναι ταραγμένη, καί ὁ ὁποῖος κλαίει (θρηνεῖ) ἀκόμη τήν μοῖραν καί τόν ἔρωτα τοῦ Λεάνδρου.

Ἀλλά ἀπό ποῦ ὁ Λέανδρος, πού εἶχε τό σπίτι του στήν Ἄβυδο,
ἐπόθησε τήν Ἠρώ καί παρέσυρε καί ἐκείνην εἰς τά δίχτυα τοῦ πόθου;
Ἡ Ἠρώ, μιά χαριτωμένη παρθένος, πού ἔτυχε νά ἔχῃ θεότρεφτο αἷμα,
ἦτο ἱέρεια τῆς Κύπριδος (τῆς Ἀφροδίτης), καί ἦτο ἄπειρος ἀπό γάμους,
καί κατοικοῦσε εἰς ἕνα πύργον τῶν προγόνων της πλησίον τῆς γειτονικῆς θαλάσσης,
καί ἦτο μιά ἄλλη βασίλισσα Κύπρις· ἀπό φρονιμάδα δέ καί συστολή ποτέ δέν συναναστράφηκε συγκεντρωμένες γυναῖκες, οὔτε ποτέ ἔλαβε μέρος σέ χορό πού προσφέρει χαράν εἰς τίς νέες τῆς ἰδικῆς της ἡλικίας,
ἐπειδή ἀπέφευγε τίς ζηλότυπες κατηγορίες τῶν γυναικῶν·
καί πράγματι αἱ γυναῖκες εἶναι ζηλότυπες γιά τήν χαρά τῶν ἄλλων·
ἀλλά πάντοτε ἐξευμένιζε τήν Κυθέρειαν Ἀφροδίτην,

πολλάκι καί τόν Ἔρωτα παρηγορέεσκε θυηλαῖς
μητρί σύν οὐρανίῃ, φλογερήν τρομέουσα φαρέτρην.
ἀλλ᾽ οὐδ᾽ ὡς ἀλέεινε πυριπνείοντας ὀϊστούς.

Δή γάρ Κυπριδίη πανδήμιος ἦλθεν ἑορτή,
τήν ἀνά Σηστόν ἄγουσιν Ἀδώνιδι καί Κυθερείῃ,
πανσυδίῃ δ᾽ ἔσπευδον ἐς ἱερόν ἦμαρ ἱκέσθαι,
ὅσσοι ναιετάεσκον ἀλιστεφέων σφυρά νήσων,
οἱ μέν ἀφ᾽ Αἱμονίης, οἱ δ᾽ εἰναλίης ἀπό Κύπρου·
οὐδέ γυνή τις ἔμιμνεν ἐνί πτολίεσσι Κυθήρων·,
οὐ Λιβάνου θυόεντος ἐνί πτερύγεσσι χορεύων·
οὐδέ περικτιόνων τις ἐλείπετο τῆμος ἑορτῆς,
οὐ Φρυγίης ναέτης, οὐ γείτονος ἀστός Ἀβύδου,
οὐδέ περικτιόνων τις ἐλείπετο τῆμος ἑορτῆς,
οὐ Φρυγίης ναέτης, οὐ γείτονος ἀστός Ἀβύδου,
οὐδέ τις ἠϊθέων φιλοπάρθενος· ἦ γάρ ἐκεῖνοι,
αἰέν ὁμαρτήσαντες, ὅπη φάτις ἐστίν ἑορτῆς,
οὐ τόσον ἀθανάτων ἀγέμεν σπεύδουσι θυηλάς,
ὅσσον ἀγειρομένων διά κάλλεα παρθενικάων.

καί πολλές φορές κατεπράϋνε μέ θυσίες καί τόν Ἔρωτα μαζί μέ τήν ἐπουρανίαν μητέρα του, ἐπειδή ἔτρεμε (ἐφοβεῖτο) τήν φλογεράν φαρέτραν του.
Ἀλλ᾽ οὔτε μέ αὐτόν τόν τρόπον κατώρθωσε νά ἀποφύγῃ τά βέλη του πού ἀποπνέουν φωτιά.

Ἔφθασε λοιπόν ἡ παλλαϊκή ἑορτή τῆς Κύπριδος,
τήν ὁποίαν τελοῦν εἰς τήν Σηστόν πρός τιμήν τοῦ Ἀδώνιδος καί τῆς Κυθερείας,
κι᾽ ἔσπευδαν νά ἔλθουν εἰς τήν ἁγίαν ἡμέραν ὅλοι μαζί,
ὅσοι κατοικοῦσαν εἰς τά ἄκρα τῶν νησιῶν, πού περιβάλλονται ἀπό τήν θάλασσαν·
ἄλλοι μέν ἀπό τήν Αἱμονίαν καί ἄλλοι ἀπό τήν θαλασσινήν Κύπρον·
οὔτε καμμιά γυναῖκα παρέμενε εἰς τάς πόλεις τῶν Κυθήρων οὔτε κανείς πού νά μή χορεύῃ εἰς τά πτερά τοῦ εὐώδους (τοῦ μυρωδάτου) Λιβάνου·
οὔτε κανείς ἀπό τούς περιοίκους ἔλειψε τότε ἀπό τήν ἑορτήν, οὔτε κάτοικος τῆς Φρυγίας οὔτε ἀστός τῆς γειτονικῆς Ἀβύδου, οὔτε κανείς νέος πού ἀγαπάει τίς κοπέλλες· διότι πράγματι ἐκεῖνοι (οἱ νέοι), πηγαίνουν πάντοτε ὅπου γίνεται λόγος δι᾽ ἑορτήν,
τρέχουν ἐσπευσμένως ἐκεῖ ὄχι τόσον διά νά προσφέρουν θυσίας εἰς τούς θεούς,
ὅσον διά τά κάλλη (διά νά ἴδουν τά κάλλη) τῶν παρθένων,
πού συγκεντρώνονται ἐκεῖ (εἰς τόν τόπον τῆς ἑορτῆς).

στίχοι 55-82

Ἡ δέ θεῆς ἀνά νηόν ἐπῴχετο παρθένος Ἠρώ,
μαρμαρυγήν χαρίεντος ἀπαστράπτουσα προσώπου,
οἵά τε λευκοπάρῃος ἐπαντέλλουσα σελήνη.
ἄκρα δέ χιονέων φοινίσσετο κύκλα παρειῶν,
ὡς ῥόδον ἐκ καλύκων διδυμόχροον· ἦ τάχα φαίης,
Ἠροῦς ἐν μελέεσσι ῥόδων λειμῶνα φανῆναι·

στίχοι 55-82

Ἡ δέ παρθένος Ἠρώ ἐπορεύετο (ἐπήγαινε) εἰς τον ναόν τῆς θεᾶς,
ἀκτινοβολοῦσα μέ τήν λάμψιν τοῦ ὡραίου προσώπου της,
καί ἔμοιαζε σάν λευκομάγουλη ἀνατέλλουσα σελήνη,
ἐνῶ τά ἄκρα τῶν λευκῶν παρειῶν της ἐκοκκίνιζαν κυκλικά σάν τό δίχρωμο ρόδο, ὅταν βγαίνῃ ἀπό τούς κάλυκες· ἀληθινά θά μποροῦσε κανείς νά πῇ ὅτι εἰς τά μέλη τῆς Ἠροῦς ἀνεφάνη ἕνα τοπίον ἀπό ρόδα·

χροιήν γάρ μελέων ἐρυθαίνετο· νισσομένης δέ
καί ρόδα λευκοχίτωνος ὑπό σφυρά λάμπετο
κούρης,
πολλαί δ' ἐκ μελέων Χάριτες ρέον. οἱ δέ παλαιοί
τρεῖς Χάριτας ψεύσαντο πεφυκέναι· εἷς δέ
τις Ἥροῦς ὀφθαλμός γελόων ἑκατόν Χαρίτεσσι τεθήλει.
ἀτρεκέως ἱέρειαν ἐπάξιον εὗρατο Κύπρις.

Ὣς ἡ μέν, περί πολλόν ἀριστεύσασα γυναικῶν,
Κύπριδος ἀρήτειρα, νέη διεφαίνετο Κύπρις.
δύσατο δ' ἠϊθέων ἁπαλάς φρένας· οὐδέ τις
ἀνδρῶν ἦεν, ὃς οὐ μενέαινεν ἔχειν ὁμοδέμνιον Ἥρώ.
ἡ δ' ἄρα καλλιθέμεθλον ὅπη κατά νηόν ἀλᾶτο,
ἐσπόμενον νόον εἶχε, καί ὄμματα καί φρένας ἀνδρῶν.
καί τις ἐν ἠϊθέοισιν ἐθαύμασε, καί φάτο μῦθον·
καί Σπάρτης ἐπέβην, Λακεδαίμονος ἔδρακον ἄστυ,
ἦχι μόθον καί ἄεθλον ἀκούομεν ἀγλαϊάων·
τοίην δ' οὔποτ' ὄπωπα νέην, κεδνήν θ', ἁπαλήν τε·
καί τάχα Κύπρις ἔχει Χαρίτων μίαν ὁπλοτεράων.
παπταίνων ἐμόγησα, κόρον δ' οὐχ εὗρον ὀπωπῆς.
αὐτίκα τεθναίην λεχέων ἐπιβήμενος Ἥροῦς· οὐκ ἄν ἐγώ κατ' Ὄλυμπον ἐφιμείρω θεός
εἶναι,
ἡμετέρην παράκοιτιν ἔχων ἐνί δώμασιν Ἥρώ.
εἰ δέ μοι οὐκ ἐπέοικε τεήν ἱέρειαν ἀφάσσειν,

διότι τό χρῶμα τῶν μελῶν της ἐκοκκίνιζε· ἐνῶ δέ ἐβάδιζε κάτω ἀπό τά σφυρά τῆς κόρης μέ τόν λευκόν χιτῶνα ἔλαμπαν ρόδα·
καί πολλές Χάριτες ἀπέρρεαν ἀπό τό σῶμα (τῆς Ἥροῦς). Οἱ δέ παλαιοί εἶπαν ψέματα ὅτι τρεῖς Χάριτες ἐγεννήθησαν· καί τό μάτι τῆς Ἥροῦς γελαστό ἄνθιζε σάν τά μάτια ἑκατόν Χαρίτων.

Ἀληθινά ἡ Κύπρις (ἡ Ἀφροδίτη) εὑρῆκε ἱέρειαν, πού ἦτο ἀνταξία της.

Ἔτσι αὐτή (ἡ Ἥρώ), ἀναδειχθεῖσα πρώτη μεταξύ πολλῶν γυναικῶν ὡς ἱέρεια τῆς Κύπριδος, ἐφαίνετο σάν νέα Κύπρις.

Εἰσεχώρησε δέ (ἡ Ἥρώ) εἰς τάς ἁπαλάς φρένας (εἰς τά μαλακά μυαλά) τῶν νέων· καί δέν ὑπῆρχε κανείς ἄνδρας, πού νά μή ἐπιθυμοῦσε νά ἔχῃ τήν Ἥρώ μαζί στό δικό του κρεββάτι.

Κι' αὐτή βέβαια, ὅπου κι' ἄν περιεφέρετο μέσα εἰς τόν ναόν μέ τά ὡραῖα θεμέλια, εἶχε ὡς ἀκόλουθον τόν νοῦν καί τά μάτια καί τάς ἐπιθυμίας τῶν ἀνδρῶν·
καί κάποιος μεταξύ τῶν νέων κατελήφθη ἀπό θαυμασμόν καί εἶπε τά ἑξῆς λόγια:
Ἐπῆγα καί εἰς τήν Σπάρτην καί εἶδα τήν πόλιν τῆς Λακεδαίμονος, ὅπου ἀκούομεν διά τήν μάχην καί τῶν ἀγῶνα τῶν χαρῶν·
τέτοιαν ὅμως νέαν ποτέ δέν εἶδα, τόσον ὡραίαν καί τρυφερήν·
καί ἴσως ἡ Κύπρις ἔχει μίαν ἀπό τίς νεώτερες Χάριτες.

Ἐκουράσθηκα νά τήν παρατηρῶ, ἀλλ' ὅμως δέν ἐχόρτασα νά τήν βλέπω.
Εἴθε ἀμέσως νά πεθάνω, ἀφοῦ προηγουμένως ἀνεβῶ εἰς τό κρεββάτι τῆς Ἥροῦς·
Δέν θά ἐπιθυμοῦσα ἐγώ νά εἶμαι θεός εἰς τόν Ὄλυμπον,
ἐάν εἶχα ἰδικήν μου σύζυγον εἰς τό σπίτι μου τήν Ἥρώ.

Ἐάν ὅμως δέν ἁρμόζῃ εἰς ἐμέ νά θωπεύω τήν ἰδικήν σου ἱέρειαν,

στίχοι 83-111

τοίην μοι, Κυθέρεια, νέην παράκοιτιν ὀπάσσαις.

Τοῖα μέν ἠϊθέων τις ἐφώνεεν· ἄλλοθεν ἄλλος,

στίχοι 83-111

εἴθε, ὦ Κυθέρεια, νά μοῦ δώσῃς ὁμοίαν νέαν σύζυγον (ὡσάν τήν Ἥρώ).

Αὐτά περίπου ἔλεγε κάποιος ἀπό τούς νέ-

ἕλκος ὑποκλέπτων, ἐπεμήνατο κάλλεῖ κούρης.

Αἰνοπαθές Λείανδρε, σύ δ', ὡς ἴδες εὐκλέα κούρην,
οὐκ ἔθελες κρυφίοισι κατατρύχειν φρένα κέντροις,
ἀλλά πυριπνεύστοισι δαμείς ἀδόκητον ὀϊστοῖς,
οὐκ ἔθελες ζώειν περικαλλέος ἄμμορος Ἡροῦς.
σύν βλεφάρων δ' ἀκτῖσιν ἀέξετο πυρσός ἐρώτων,
καί κραδίη πάφλαζεν ἀνικήτου πυρός ὁρμῇ.
κάλλος γάρ περίπυστον ἀμωμήτοιο γυναικός
ὀξύτερον μερόπεσσι πέλει πτερόεντος ὀϊστοῦ·
ὀφθαλμός δ' ὁδός ἐστιν· ἀπ' ὀφθαλμοῖο βολάων
ἕλκος ὀλισθαίνει, καί ἐπί φρένας ἀνδρός ὁδεύει.
εἶλε δέ μιν τότε θάμβος, ἀναιδείη, τρόμος,
αἰδώς·
ἔτρεμε μέν κραδίην, αἰδώς δέ μιν εἶχεν ἀλῶναι·
θάμβεε δ' εἶδος ἄριστον, ἔρως δ' ἀπενόσφισεν αἰδώ·
θαρσαλέως δ' ὑπ' ἔρωτος ἀναιδείην ἀγαπάζων,
ἠρέμα ποσσίν ἔβαινε, καί ἀντίον ἵστατο κούρης.
λοξά δ' ὀπιπτεύων δολεράς ἐλέλιξεν ὀπωπάς,
νεύμασιν ἀφθόγγοισι παραπλάζων φρένα κούρης.
αὐτή δ', ὡς συνέηκε πόθον δολόεντα Λεάνδρου,
χαῖρεν ἐπ' ἀγλαΐῃσιν· ἐν ἡσυχίῃ δέ καί αὐτή
πολλάκις ἰμερόεσσαν ἐήν ἔκρυψεν ὀπωπήν,
νεύμασι λαθριδίοισιν ὑπαγγελέουσα Λεάνδρῳ,
καί πάλιν ἀντέκλινεν. ὁ δ' ἔνδοθι θυμόν ἰάνθη,
ὅττι πόθον συνέηκε, καί οὐκ ἀπεσείσατο κούρη.

ους· κι' ἄλλος ἀπ' ἐδῶ, ἄλλος ἀπ' ἐκεῖ ἀποκρύπτων τήν πληγήν του (τό ἐρωτικόν τραῦμα) εἶχε καταληφθῆ ὑπό ἐρωτικῆς μανίας ἀπό τό κάλλος τῆς κόρης.

Ἀλλά σύ, δυστυχισμένε Λέανδρε, καθώς εἶδες τήν ὡραίαν κοπέλλα,
δέν ἤθελες νά βασανίζῃς τό μυαλό σου μέ κρυφά κεντρίσματα, ἀλλά κατενικήθης ἀπροσδοκήτως ἀπό τά βέλη, πού ἀποπνέουν φωτιά, καί δέν ἤθελες νά ζῇς ἀποχωρισμένος ἀπό τήν περικαλλῆ (τήν ὡραιοτάτην) Ἡρώ.

Μαζί δέ μέ τάς ἀκτῖνας τῶν βλεφάρων της ἐμεγάλωνε καί ἡ ἐρωτική φωτιά (τοῦ Λεάνδρου),
καί ἡ καρδιά του ἐκόχλαζε ἀπό τήν ὁρμήν τοῦ ἀκατανικήτου πυρός.
Διότι τό περιπόθητον κάλλος ἀψόγου γυναικός καθίσταται ὀξύτερον εἰς τούς ἀνθρώπους ἀπό ἕνα πτερωτό βέλος·
καί τό μάτι (τό κοίταγμα μέ τό μάτι) εἶναι ὁ δρόμος· ἀπό τίς βολές τοῦ ματιοῦ γλιστράει ἡ πληγή (ἡ ἐρωτική πληγή) καί βαδίζει πρός τήν καρδιά τοῦ ἀνδρός.

Κατέλαβε δέ τότε αὐτόν (τόν Λέανδρον) ἔκπληξις, ἀναίδεια, τρόμος, ἐντροπή·
ἔτρεμε μέν ἡ καρδιά του, ἡ δέ ἐντροπή ἦτο δυνατόν νά τόν κυριεύσῃ·
ἐκ τῆς ἐκπλήξεως τό εἶδος (ἡ μορφή του) ἦτο ἄριστον, ὁ ἔρως ὅμως τόν ἀπεχώρισεν ἀπό τήν ἐντροπήν·
καί μέ θάρρος ἀποκλίνων λόγῳ τοῦ ἔρωτός του πρός τήν ἀναίδειαν ἐβάδιζε ἥσυχα (μέ ἡρεμίαν) καί ἐστάθηκε ἀπέναντι ἀπό τήν κόρην·
καί κοιτάζοντας λοξά ἔρριξε περιστροφικῶς δολερές ματιές,
παραπλανώντας τό μυαλό τῆς κοπέλλας μέ νεύματα, χωρίς νά ὁμιλῇ·

Αὐτή δέ, καθώς ἀντελήφθη τόν δόλιον πόθον τοῦ Λεάνδρου, ἔχαιρε γιά τήν δόξα· μέ ἡσυχίαν (μέ ἡρεμίαν) δέ καί αὐτή πολλές φορές δέν ἀπέκρυψε τήν ἰδικήν της ἐρωτικήν ματιά, καί μέ νεύματα κρυφά ἐπρόδιδεν εἰς τόν Λέανδρον (τήν ἐρωτικήν της ἐπιθυμίαν).

Καί πάλιν ὅμως ἡ κόρη ὠπισθοχωροῦσε· ἀλλά ἡ καρδιά ἐκείνου ἐθερμάνθη (ζεστάθηκε), διότι ἀντελήφθη ἡ κόρη τόν πόθον του καί δέν τόν ἀπέκρουσε.
Ἐφ' ὅσον μέν λοιπόν ὁ Λέανδρος ἀναζητοῦσε λαθραίαν ὥραν, (ὥραν μυστικήν, εὐκαιρίαν

Ὄφρα μέν οὖν Λείανδρος ἐδίζετο λάθριον
ὥρην,
φέγγος ἀναστείλασα κατήϊεν ἐς δύσιν Ἠώς·
ἐκ περάτης δ᾽ ἀνέφαινε βαθύσκιος Ἕσπερος ἀστήρ

στίχοι 112-139

αὐτάρ ὁ θαρσαλέως μετεκίαθεν ἐγγύθι κούρης,
ὡς ἴδε κυανόπεπλον ἐπιθρῴσκουσαν ὁμίχλην·
ἡρέμα μέν θλίβων ροδοειδέα δάκτυλα κούρης,
βυσσόθεν ἐστονάχιζεν ἀθέσφατον· ἡ δέ σιωπῇ,
οἷα τε χωομένη, ροδέην ἐξέσπασε χεῖρα.
ὡς δ᾽ ἐρατῆς ἐνόησε χαλίφρονα νεύματα κούρης,
θαρσαλέως παλάμῃ πολυδαίδαλον ἕλκε χιτῶνα,
ἕσχατα τιμήεντος ἄγων ἐπί κεύθεα νηοῦ.
ὀκναλέοις δέ πόδεσσιν ἐφέσπετο παρθένος Ἠρώ,
οἷάπερ οὐκ ἐθέλουσα, τόσην δ᾽ ἀνενείκατο
φωνήν, θηλυτέροις ἐπέεσσιν ἀπειλείουσα Λεάνδρῳ·
Ξεῖνε, τί μαργαίνεις; τί με, δύσμορε, παρθένον ἕλκεις;
ἄλλην δεῦρο κέλευθον· ἐμόν δ᾽ ἀπόλειπε χιτῶνα.
μῆνιν ἐμῶν ἀλέεινε πολυκτεάνων γενετήρων.
Κύπριδος οὔ σοι ἔοικε θεῆς ἱέρειαν ἀφάσσειν·
παρθενικῆς ἐπί λέκτρον ἀμήχανόν ἐστιν ἱκέσθαι.
Τοῖα μέν ἠπείλησεν, ἐοικότα παρθενικῆσιν.
θηλείης δέ Λέανδρος ἐπεί κλύεν οἴστρον ἀπειλῆς,
ἔγνω πειθομένων σημήϊα παρθενικάων.
καί γάρ ὅτ᾽ ἠϊθέοισιν ἀπειλείωσι γυναῖκες,
Κυπριδίων ὁάρων αὐτάγγελοί εἰσιν ἀπειλαί.
παρθενικῆς δ᾽ εὐοδμον, ἑῦχροον αὐχένα κύσας,
τοῖον μῦθον ἔειπε, πόθου βεβολημένος οἴστρῳ·

διά νά πλησιάση κρυφά τήν Ἠρώ), ἡ Ἠώς ἐσταμάτησε τό φῶς καί κατέβαινεν εἰς τήν δύσιν·
ἀπό δέ τήν ἀπέναντι περιοχήν ἄρχισε νά φωτίζῃ ὁ ἀστήρ Ἕσπερος μέ τήν βαθειά σκιά του.

στίχοι 112-139

Τότε ἐκεῖνος (ὁ Λέανδρος) ἐπροχώρησε πλησίον πρός τήν κόρην, καθώς εἶδε νά ξεπηδᾷ μαύρη ὁμίχλη·
καί μέ ἠρεμίαν ἐπίεζε τά ρόδινα δάκτυλα τῆς κόρης· ἐστέναζε ἀπό τό βάθος (τῆς καρδιᾶς του) κατά τρόπον, πού δέν εἶναι δυνατόν νά πῇ κανείς· ἐκείνη ὅμως σιωπηλά, ὡσάν ὠργισμένη,
ἀπέσπασε (ἐτράβηξε) τό ρόδινο χέρι της.
Ἐκεῖνος ὅμως, ὅταν ἀντελήφθη τά ἐνδοτικά νεύματα τῆς κόρης, θαρραλέα ἔσυρε (ἐτραβοῦσε) μέ τά χέρια του τόν πολυποίκιλον χιτῶνα καί τήν ὡδήγησε εἰς τούς σκοτεινούς χώρους τοῦ πολυτελοῦς ναοῦ.
Καί μέ ὀκνηρά βήματα τόν ἀκολουθοῦσε ἡ παρθένος Ἠρώ, παριστάνουσα ὅτι δέν ἤθελε, καί ξεφώνησε,
ἀπειλοῦσα τόν Λέανδρον μέ γυναικεῖα λόγια:
Ξένε, διατί φέρεσαι μέ μανίαν; διατί, δυστυχισμένε, σύρεις (τραβᾷς) ἐμέ τήν παρθένον;
πάρε ἄλλον δρόμον, καί ἄφησε τόν ἰδικόν μου χιτῶνα,
διά νά ἀποφύγῃς τήν ὀργήν τῶν πλουσίων γονέων μου.
Δέν ἁρμόζει σέ σένα νά ἐγγίζῃς τήν ἱέρειαν τῆς θεᾶς Κύπριδος· εἶναι ἀδύνατον νά φθάσῃς εἰς τό κρεββάτι παρθένου. Αὐτά τοῦ εἶπε ἀπειλητικά ἡ Ἠρώ, πού ἐμοιαζαν μέ παρθενικά λόγια.
Ὅταν ὅμως ὁ Λέανδρος ἤκουσε τά ἀπειλητικά γυναικεῖα λόγια, κατάλαβε ὅτι αὐτά ἦσαν σημάδια (ἀποδείξεις), πού δείχνουν αἱ παρθένες, ὅταν ὑποχωροῦν, ὅταν θέλουν.
Καί πράγματι ὅταν αἱ γυναῖκες ἀπειλοῦν τούς νέους, αὐταί αἱ ἀπειλαί εἶναι ἀφ᾽ ἑαυτῶν ἄγγελοι (ἐνδείξεις) ἐρωτικῶν συνομιλιῶν.
Ἀφοῦ δέ ἐφίλησε τόν εὐώδη, καλλίχρωμον αὐχένα τῆς κόρης, κτυπημένος ἀπό τήν μανίαν τοῦ ἐρωτικοῦ πόθου, τῆς εἶπε αὐτά τά λόγια:

Κύπρι φίλη μετά Κύπριν, Ἀθηναίη μετ᾽ Ἀθήνην,
οὐ γάρ ἐπιχθονίησιν ἴσην καλέω σε γυναιξίν,
ἀλλά σέ θυγατέρεσσι Διός Κρονίωνος ἐΐσκω,
ὄλβιος, ὅς σ᾽ ἐφύτευσε, καί ὀλβίη, ἥ τέκε, μήτηρ,
γαστήρ, ἥ σ᾽ ἐλόχευσε, μακαρτάτη· ἀλλά λιτάων

Ἐσύ εἶσαι γιά μένα ἡ ἀγαπητή Κύπρις ὕστερα ἀπό τήν Κύπριν καί ἡ Ἀθηνᾶ ὕστερα ἀπό τήν Ἀθηνᾶν,
διότι ἐγώ δέν σέ θεωρῶ ἴσην μέ τίς γήϊνες γυναῖκες,
ἀλλά σέ παρομοιάζω μέ τάς θυγατέρας τοῦ Διός, υἱοῦ τοῦ Κρόνου.
Εὐτυχής ἦτο ἐκεῖνος, πού σέ ἔσπειρε, καί εὐτυχισμένη ἡ μητέρα, πού σ᾽ ἐγέννησε,

στίχοι 140-167

ἡμετέρων ἐπάκουε, πόθου δ᾽ οἰκτειρον ἀνάγκην.
Κύπριδος ὡς ἱέρεια, μετέρχεο Κύπριδος ἔργα.
δεῦρ᾽ ἴθι, μυστιπόλευε γαμήλια θεσμά θεαίνης·
παρθένον οὐκ ἐπέοικεν ὑποδρήσσειν Ἀφροδίτῃ,
παρθενικαῖς οὐ Κύπρις ἰαίνεται. ἦν δ᾽ ἐθελήσῃς
θεσμά θεῆς ἐρόεντα, καί ὄργια πιστά δαῆναι,
ἔστι γάμος καί λέκτρα. σύ δ᾽, εἰ φιλέεις Κυθέρειαν,
θελξινόων ἀγάπαζε μελίφρονα θεσμόν ἐρώτων,
σόν δ᾽ ἱκέτην με κόμιζε, καί, ἦν ἐθέλῃς, παρακοίτην,
τόν σοι Ἔρως ἤγρευσεν ἐοῖς βελέεσσι κιχήσας.
ὣς θρασύν Ἡρακλῆα θοός χρυσόρραπις Ἑρμῆς
θητεύειν ἑκόμιζεν Ἰαρδανίην ποτί νύμφην.
σοί δέ με Κύπρις ἔπεμπε, καί οὐ σοφός ἦγαγεν Ἑρμῆς.
παρθένος οὔ σε λέληθεν ἀπ᾽ Ἀρκαδίης Ἀταλάντη,
ἥ ποτε Μειλανίωνος ἐρασσαμένου φύγεν εὐνήν,
παρθενίης ἀλέγουσα· χολωσαμένης δ᾽ Ἀφροδίτης,
τόν πάρος οὐκ ἐπόθησεν, ἑνί κραδίῃ θέτο πάσῃ.
πείθεο καί σύ, φίλη, μή Κύπριδι μῆνιν ἐγείρῃς.
Ὣς εἰπών, παρέπεισεν ἀναινομένης φρένα κούρης,

στίχοι 140-167

καί μακαριωτάτη ἡ κοιλιά, πού σέ κυοφοροῦσε.
Ἀλλ᾽ ἄκουσε τίς παρακλήσεις μου καί εὐσπλαχνίσου (λυπήσου) τόν ἰσχυρόν πόθον μου.
Ἐσύ σάν ἱέρεια πού εἶσαι τῆς Κύπριδος, πρέπει νά ἀσκῇς τά ἔργα τῆς Κύπριδος.
Ἔλα ἐδῶ καί τέλεσε τά θέσμια τοῦ γάμου.
Δέν ἁρμόζει εἰς τήν Ἀφροδίτην νά ὑπηρετῆται ἀπό παρθένον.
Ἡ Κύπρις δέν θερμαίνεται μέ τάς παρθένους.
Ἐάν ὅμως θελήσῃς νά μάθῃς τά ἐρωτικά θέσμια τῆς θεᾶς καί τίς ἀληθινές τελετουργίες, ὑπάρχει ὁ γάμος καί τό κρεββάτι. Σύ δέ, ἐάν ἀγαπᾶς τήν Κυθέρειαν, ἀποδέξου τόν εὐχάριστον θεσμόν τῶν ἐρώτων, πού θέλγουν τόν νοῦν· καί ἐμέ τόν ἰδικόν σου ἱκέτην πρόσεχε, καί, ἂν θέλῃς, πάρε με σύζυγόν σου,
ἐμέ πού μέ ἔπιασε γιά χάρι σου μέ τά ἰδικά σου βέλη ὁ Ἔρως, ὅταν μέ συνήντησε.
Ἔτσι ὁ ταχύς Ἑρμῆς μέ τό χρυσό κηρύκειον ἐφρόντισε νά εἶναι ὑπηρέτης ὁ γενναῖος Ἡρακλῆς εἰς τήν νύμφην Ἰορδανίαν. Ἀλλά ἐμένα ἔστειλε σέ σένα ἡ Κύπρις καί δέν μέ ὡδήγησεν ὁ σοφός Ἑρμῆς.
Δέν ἔχεις λησμονήσει τήν Ἀταλάντην, τήν κόρην ἀπό τήν Ἀρκαδίαν, πού κάποτε ἀπέφυγε τό κρεββάτι, ὅταν τήν ἀγάπησε ὁ Μελανίων, ἐπειδή ἐφρόντιζε τήν παρθενικότητά της· ἀφοῦ ὅμως ἐθύμωσε ἡ Ἀφροδίτη, ἐκεῖνον πού δέν τόν εἶχε ποθήσει προηγουμένως, τόν ἔβαλε ὁλόκληρον σ᾽ ὅλη της τήν καρδιά.
Πείσου καί σύ, ἀγαπητή μου, στά λόγια μου, διά νά μή διεγείρῃς τήν ὀργήν τῆς Ἀφροδίτης.
Αὐτά τά λόγια εἶπε (ὁ Λέανδρος) καί παρέπεισε τό μυαλό τῆς κόρης, καίτοι αὐτή ἐφαίνετο ὅτι ἠρνεῖτο,

θυμόν ἐρωτοτόκοισι παραπλάγξας ἐνί μύθοις.
παρθενική δ' ἀφθογγος ἐπί χθόνα πῆξεν ὀπωπήν,
αἰδοῖ ἐρυθριόωσαν ὑποκλέπτουσα παρείην,
καί χθονός ἔξεεν ἄκρον ὑπ' ἴχνεσιν, αἰδομένη
δέ
πολλάκις ἀμφ' ὤμοισιν ἑόν συνέεργε χιτῶνα.
πειθοῦς γάρ τάδε πάντα προάγγελα, παρθενικῆς δέ
πειθομένης ποτί λέκτρον ὑπόσχεσίς ἐστι σιωπή.
ἤδη καί γλυκύπικρον ἐδέξατο κέντρον ἐρώτων,
θέρμετο δέ κραδίην γλυκερῷ πυρί παρθένος Ἥρώ,

στίχοι 168-195

κάλλεϊ δ' ἱμερόεντος ἀνεπτοίητο Λεάνδρου.
ὄφρα μέν οὖν ποτί γαῖαν ἔχεν νεύουσαν ὀπωπήν,
τόφρα δέ καί Λείανδρος ἐρωμανέεσσι προσώποις
οὐ κάμεν εἰσορόων ἀπαλόχροον αὐχένα κούρης.
ὀψέ δέ Λειάνδρῳ γλυκερήν ἀνενείκατο φωνήν,.
αἰδοῦς ὑγρόν ἔρευθος ἀποστάζουσα προσώπου·
Ξεῖνε, τεοῖς ἐπέεσσι τάχ' ἄν καί πέτρον ὀρίναις.
τίς σε πολυπλανέων ἐπέων ἐδίδαξε κελεύθους;
οἴ μοι! τίς σ' ἐκόμισσεν ἐμήν ἐς πατρίδα γαῖαν;
ταῦτα δέ πάντα μάτην ἐφθέγξαο· πῶς γάρ ἀλήτης
ξεῖνος ἐών καί ἄπιστος, ἐμῇ φιλότητι μιγείης;
ἀμφαδόν οὐ δυνάμεσθα γάμοις ὁσίοισι πελάσσαι·
οὐ γάρ ἐμοῖς τοκέεσσιν ἐπεύαδεν· ἤν δ' ἐθελήσῃς
ὡς ξεῖνος πολύφοιτος ἐμήν ἐς πατρίδα μίμνειν,
οὐ δύνασαι σκοτόεσσαν ὑποκλέπτειν Ἀφροδίτην.

καί παρεπλάνησε τήν καρδιά της μέ λόγια, πού τά γεννάει ὁ ἔρως.
Ἡ παρθένος δέ ἀμίλητη (ἄφωνος) ἔμπηξε τήν ματιά της στήν γῆ, καί ἀπέκρυπτε ἀπό ντροπαλότητα τήν παρειάν της (τό πρόσωπόν της), πού εἶχε κοκκινίσει,
καί ἔξυνε τήν ἐπιφάνειαν τῆς γῆς μέ τά πόδια της, καί πολλές φορές ἐντρεπομένη συνέδεε τόν χιτῶνά της γύρω ἀπό τούς ὤμους της.
Διότι ὅλα αὐτά προανήγγελλαν ὅτι ἐπείσθη (ἀπό τά λόγια τοῦ Λεάνδρου), ἡ δέ σιωπή ἀποτελεῖ ὑπόσχεσιν ὅτι ἡ κόρη εἶχε πεισθῆ.
Εἶχε πλέον δεχθῆ (ἡ Ἥρώ) καί τό γλυκόπικρο ἐρωτικό κέντρισμα, καί ἡ καρδιά της ἐθερμαίνετο (ζεσταίνονταν) μέ τήν γλυκειά φωτιά (φλόγα) τοῦ ἔρωτος.

στίχοι 168-195

Καί θαμβώθηκε ἀπό τήν ὁμορφιά τοῦ περιπόθητου Λεάνδρου.
Ἐφ' ὅσον μέν λοιπόν ἡ Ἥρώ εἶχε προσηλωμένα τά μάτια της εἰς τήν γῆν, ἄλλο τόσο καί ὁ Λέανδρος δέν ἀπέκαμε νά βλέπῃ μέ τά ἐρωτομανῆ μάτια του τόν αὐχένα τῆς κόρης μέ τό ἁπαλόν χρῶμα.
Κα ἀργά ἀπηύθυνε πρός τόν Λεάνδρον γλυκειά φωνή, ἐνῶ ἀπέσταζε ἀπό τό πρόσωπόν της ὑγρή κοκκινάδα ἀπό ντροπή, καί τοῦ εἶπε: Ξένε, ἴσως καί πέτρα θά μπορέσῃς νά σηκώσῃς μέ τά ἰδικά σου λόγια. Ποιός σοῦ ἔμαθε τούς δρόμους τῶν πλανερῶν λόγων;
Ὤιμέ! Ποιός σέ ἔφερε εἰς τήν πατρίδα μου;
Ὅλα ὅμως αὐτά ματαίως τά ξεφώνησες· διότι πῶς ἐσύ, πού εἶσαι ἕνας περιπλανώμενος ξένος καί ἀναξιόπιστος, θά ἔλθῃς εἰς ἐρωτικήν ἐπαφήν μέ ἐμέ;
Ἀναφανδόν (φανερά) δέν ἠμποροῦμεν νά κάμωμεν (νά τελέσωμεν) ἱερούς γάμους· διότι αὐτό δέν θά ἄρεσε εἰς τούς γονεῖς μου· ἄν ὅμως θελήσῃς νά παραμένῃς εἰς τήν πατρίδα μου ὡς ξένος, πού θά ἔρχεσαι συχνά, δέν ἠμπορεῖς κατά τό σκότος νά ἀποκρύπτῃς τήν Ἀφροδίτην. Διότι ἡ γλῶσσα τῶν ἀνθρώπων εἶ-

γλῶσσα γάρ ἀνθρώπων φιλοκέρτομος· ἐν δέ σιωπῇ
ἔργον ὅπερ τελέει τις, ἐνί τριόδοισιν ἀκούει.
εἰπέ δέ, μή κρύψῃς, τεόν οὔνομα, καί σέο
πάτρην.
οὐ γάρ ἐμόν σε λέληθεν, ἐμοί δ' ὄνομα κλυτόν Ἠρώ.
πύργος δ' ἀμφιβόητος ἐμός δόμος οὐρανομήκης,
ᾧ ἔνι ναιετάουσα σύν ἀμφιπόλῳ τινί μούνῃ
Σηστιάδος πρό πόληος ὑπέρ βαθυκύμονας ὄχθας,
γείτονα πόντον ἔχω, στυγεραῖς βουλῇσι τοκήων.
οὐδέ μοι ἐγγύς ἔασιν ὁμήλικες, οὐδέ χορεῖαι
ἠϊθέων παρέασιν· ἀεί δ', ἀνά νύκτα καί Ἠῶ,
ἐξ ἁλός ἠνεμόεντος ἐπιβρέμει οὔασιν ἠχή.
Ὡς φαμένη ροδέην ὑπό φάρεϊ κλέπτε παρειήν,
ἐμπαλιν αἰδομένη, σφετέροις δ' ἐπεμέμφετο μύθοις.

στίχοι 196-224

Λείανδρος δέ, πόθου βεβολημένος ὀξέϊ κέντρῳ,
φράζετο, πῶς κεν ἔρωτος ἀεθλεύσειεν ἀγῶνα.
ἄνδρα γάρ αἰολόμητις Ἔρως βελέεσσι δαμάσσας
καί πάλιν ἀνέρος ἕλκος ἀκέσσεται· οἷσι δ' ἀνάσσει,
αὐτός ὁ πανδαμάτωρ βουληφόρος ἐστί βροτοῖσιν.
αὐτός καί ποθέοντι τότε χραίσμησε Λεάνδρῳ.
ὀψέ δ' ἀλαστήσας πολυμήχανον ἔννεπε μῦθον·
Παρθένε, σόν δι' ἔρωτα καί ἄγριον οἶδμα περήσω,
εἰ πυρί παφλάζοιτο, καί ἅπλοον ἔσσεται ὕδωρ.
οὐ τρομέω βαρύ χεῦμα, τεήν μετανεύμενος εὐνήν,
οὐ βρόμον ἠχήεντα περιπτώσσοιμι θαλάσσης.

ναι φιλοκατήγορος· καί τό ἔργον πού ἐκτελεῖ κάποιος σιωπηρά, τό ἀκούει εἰς τάς τριόδους (εἰς τά τρίστρατα).

Ἀλλάς πές μου, καί μή τό κρύψῃς, τό ὄνομά σου καί τήν πατρίδα σου,
διότι τό ἰδικόν μου δέν σοῦ διαφεύγει, εἶναι τό περίφημον Ἠρώ.

Ἡ κατοικία μου εἶναι ἕνας περιβόητος ὑψηλότατος πύργος, ὅπου διαμένω μονάχη μέ κάποιαν ὑπηρέτριαν, ἐμπρός ἀπό τήν πόλιν Σηστόν, ἐπάνω ἀπό τίς ὄχθες τῆς θαλάσσης μέ τά βαθειά κύματα,
καί ἔχω γείτονα τήν θάλασσαν, κι' αὐτά ὅλα ἔγιναν σύμφωνα μέ τίς μισητές ἐπιθυμίες τῶν γονέων μου.

Οὔτε ὑπάρχουν πλησίον μου συνομήλικες, οὔτε χοροί νέων παρευρίσκονται· ἀλλά πάντοτε, νύκτα καί ἡμέραν, βουΐζει στά αὐτιά μου ὁ θόρυβος τῆς ἀνεμοδαρμένης θαλάσσης.

Ἀφοῦ εἶπε αὐτά, ἀπέκρυψε τό ρόδινο πρόσωπόν της μέ τεμάχιον πανιοῦ, ἐπειδή καί πάλιν ἠσθάνετο ἐντροπήν διά τά λόγια της. Ὁ δέ Λέανδρος, κτυπημένος ἀπό τό μυτερό κεντρί τοῦ πόθου, ἐσκέπτετο, πῶς θά ἠμπορέσῃ νά διεξαγάγῃ τόν ἐρωτικόν ἀγῶνα.

στίχοι 196-224

Διότι ὁ δολοπλόκος Ἔρως, ἀφοῦ κατανικήσει μέ τά βέλη του ἕνα ἄνδρα,
καί πάλιν αὐτός θά θεραπεύσῃ τήν πληγήν τοῦ ἀνδρός· καί εἰς ἐκείνους πού βασιλεύει, αὐτός, πού δαμάζει τά πάντα, εἶναι καί ὁ σύμβουλός των· αὐτός ὁ ἴδιος ἐβοήθησε τότε καί τόν Λέανδρον, πού κατείχετο ἀπό τόν πόθον (πρός τήν Ἠρώ).

Ἀφοῦ δέ ἀργά ὠμίλησε, εἶπε λόγια πολυμήχανα: Παρθένε, γιά τόν ἔρωτά μου πρός ἐσένα θά περάσω καί τό ἄγριον κῦμα,
ἀκόμη καί ἄν παφλάζῃ ὅπως τό πῦρ καί ἄν τά νερά εἶναι ἀκατάλληλα γιά ταξίδι (λόγῳ τρικυμίας).

Ἐπιζητῶν τό δικό σου κρεββάτι δέν τρομάζω τό βαρύ κῦμα, οὔτε φοβοῦμαι τόν ἠχηρόν θόρυβον τῆς θαλάσσης.

ἀλλ᾽ αἰεί κατά νύκτα φορεύμενος ὑγρός ἀκοίτης,
νήξομαι Ἑλλήσποντον ἀγάρροον· οὐχ ἕκαθεν γάρ ἀντία σεῖο πόληος ἔχω πτολίεθρον Ἀβύδου.
μοῦνον ἐμοί ἕνα λύχνον ἀπ᾽ ἠλιβάτου σέο πύργου ἐκ περάτης ἀνάφαινε κατά κνέφας· ὄφρα νοήσας ἔσσομαι ὁλκάς Ἔρωτος, ἔχων σέθεν ἀστέρα λύχνον.
καί μιν ὁπιπτεύων δύντ᾽ ὄψομαι οὔτε Βοώτην,
οὐ θρασύν Ὡρίωνα, καί ἄβροχον ὁλκόν Ἀμάξης·
πατρίδος ἀντιπόροιο ποτί γλυκύν ὅρμον ἱκοίμην.
ἀλλά, φίλη, πεφύλαξο βαρυπνείοντας ἀήτας,
μή μιν ἀποσβέσσωσι, καί αὐτίκα θυμόν ὀλέσσω,
λύχνον, ἐμοῦ βιότοιο φαεσφόρον ἡγεμονῆα.
εἰ δ᾽ ἐτεόν γ᾽ ἐθέλεις ἐμόν οὔνομα καί σύ δαῆναι,
οὔνομά μοι Λείανδρος, ἐϋστεφάνου πόσις
Ἡροῦς.
Ὡς οἱ μέν κρυφίοισι γάμοις συνέθεντο μιγῆναι,
καί νυχίην φιλότητα, καί ἀγγελίην ὑμεναίων,
λύχνου μαρτυρίῃσιν, ἐπιστώσαντο φυλάξειν,
ἡ μέν φῶς τανύειν, ὁ δέ κύματα μακρά περῆσαι.

στίχοι 225-252

παννυχίδας δ᾽ ἀνύσαντες ἀκοιμήτων ὑμεναίων,
ἀλλήλων ἀέκοντες ἐνοσφίσθησαν ἀνάγκῃ,
ἡ μέν ἑόν ποτί πύργον, ὁ δ᾽, ὀρφναίην ἀνά νύκτα
μήτι παραπλάζοιτο, λαβών σημῆϊα πύργου,
πλῶε βαθυκρήπιδος ἐπ᾽ εὐρέα δῆμον Ἀβύδου.
παννυχίων δ᾽ ὀάρων κρυφίους ποθέοντες ἀέθλους,
πολλάκις ἠρήσαντο μολεῖν θαλαμηπόλον ὄρφνην.
Ἤδη κυανόπεπλος ἀνέδραμε νυκτός ὁμίχλη,

Ἀλλά πάντοτε ἐρχόμενος κατά τήν νύκτα ὡς ὑγρός σύζυγος (ὡς σύζυγος πού προέρχεται ἀπό τά νερά τῆς θαλάσσης) θά κολυμβῶ εἰς τόν Ἑλλήσποντον, πού ἔχει ἰσχυρά ρεύματα· διότι ἡ πόλις τῆς Ἀβύδου δέν εἶναι μακρυά ἀπό τήν ἀπέναντι εὑρισκομένην ἰδικήν σου πόλιν.

Μόνον ἕνα λύχνον γιά μένα βάλε νά φωτίζῃ ἀπό τόν ὑψηλόν σου πύργον ἀπό ἀπέναντι κατά τήν ὥραν πού σκοτεινιάζει, διά νά γίνω, ἀφοῦ ἀντιληφθῶ (τόν λύχνον), πλοῖον μεταφέρον τόν Ἔρωτα, ἔχων ὡς ἀστέρα (καθοδηγήσεως) τόν ἰδικόν σου λύχνον.

Καί κοιτάζοντας (παρατηρῶν) ἐγώ αὐτόν (τόν λύχνον), δέν θά ἴδω οὔτε τόν Βοώτην πού δύει,
οὔτε τόν θρασύν Ὡρίωνα οὔτε τόν ἄβρεκτον ἀστέρα, πού ἕλκει τήν Ἅμαξαν·
καί θά φθάσω εἰς τό γλυκύ ἀγκυροβόλι τῆς πατρίδος σου, πού εἶναι στήν ἀπέναντι ἀκτή.

Ἀλλά φυλάξου, ἀγαπητή μου, ἀπό τούς ἀνέμους, πού φυσοῦν σφοδρά, μήπως σβήσουν αὐτόν τόν λύχνον, τόν ὁδηγόν τοῦ βίου μου, πού μοῦ φέρει τό φῶς, καί σύ τό ἰδικόν μου πραγματικόν ὄνομα, σοῦ λέγω ὅτι τό ὄνομά μου εἶναι Λέανδρος, σύζυγος τῆς καλλίζωνης Ἡροῦς.

Ἔτσι αὐτοί (ὁ Λέανδρος καί ἡ Ἡρώ) συνεφώνησαν νά σμίξουν σέ κρυφούς γάμους,
καί ἔδωσαν ἀμοιβαίως βεβαίωσιν, ὅτι θά διαφυλάξουν (θά διατηρήσουν μυστικήν) καί τήν νυκτερινήν ἐρωτικήν ὁμιλίαν (ἐπαφήν) καί τήν ἀγγελίαν τῶν γάμων θά κάμουν μέ τάς μαρτυρίας τοῦ λύχνου·
αὐτή μέν νά ἐκτείνῃ ἀναμμένο τό φῶς τοῦ λύχνου, αὐτός δέ νά διαπλεύσῃ τά μεγάλα κύματα.

στίχοι 225-252

Ἀφοῦ δέ διῆλθον ὁλονύχτιες ἀκόρεστες ἐρωτικές ἐπαφές, ἐχωρίσθησαν μεταξύ των ἐξ ἀνάγκης παρά τήν θέλησίν των·
ἐκείνη μέν διέμενε εἰς τόν ἰδικόν της πύργον, αὐτός δέ κατά μίαν σκοτεινήν νύκτα,
ἀφοῦ ἔλαβε σήματα ἀπό τόν πύργον, διά νά μή παραπλανηθῇ, ἔπλεε πρός τήν εὐρεῖαν περιοχήν τῆς Ἀβύδου μέ τά ἰσχυρά θεμέλια.

Καί νοσταλγοῦσαν ὁλονύκτιες κρυφές ἐρωτικές συνομιλίες, καί πολλές φορές ηὐχήθησαν νά ἔλθῃ ἡ νυμφική νύχτα (ἡ νύχτα πού θά ἤρχοντο εἰς ἐρωτικήν ἐπαφήν).

Εἶχεν ἔλθει πλέον τό σκοτάδι τῆς νυκτός μέ

ἀνδράσιν ὕπνον ἄγουσα, καί οὐ ποθέοντι Λεάνδρῳ·
ἀλλά πολυφλοίσβοιο παρ᾽ ἠϊόνεσσι θαλάσσης
ἀγγελίην ἀνέμιμνε φαεινομένην ὑμεναίων,
μαρτυρίην λύχνοιο πολυκλαύστοιο δοκεύων,
εὐνῆς τε κρυφίης τηλεσκόπον ἀγγελιώτην.
ὡς δ᾽ ἴδε κυανέης λιποφεγγέα νυκτός ὀμίχλην
Ἠρώ, λύχνον ἔφαινεν· ἀναπτομένοιο δέ λύχνου,
θυμόν Ἔρως ἔφλεξεν ἐπειγομένοιο Λεάνδρου·
λύχνῳ καιομένῳ συνεκαίετο· πάρ δέ θαλάσσῃ
μαινομένων ροθίων πολυηχέα βόμβον ἀκούων.
ἔτρεμε μέν τό πρῶτον, ἔπειτα δέ, θάρσος ἀείρας,
τοίοισι προσέλεκτο παρηγορέων φρένα μύθοις·
Δεινός Ἔρως, καί πόντος ἀμείλιχος· ἀλλά θαλάσσης ἐστίν ὕδωρ, τό δ᾽ Ἔρωτος ἐμέ φλέγει ἐνδόμυχον πῦρ.
λάζεο πῦρ, κραδίη, μή δείδιθι νήχυτον ὕδωρ.
δεῦρό μοι εἰς φιλότητα· τί δή ροθίων ἀλεγίζεις;
ἀγνώσσεις, ὅτι Κύπρις ἀπόσπορός ἐστι θαλάσσης,
καί κρατέει πόντοιο καί ἠμετέρων ὀδυνάων;
Ὡς εἰπών μελέων ἐρατῶν ἀπεδύσατο πέπλον
ἀμφοτέρῃς παλάμῃσιν, ἐῷ δ᾽ ἔσφιγξε καρήνῳ,

στίχοι 253-280

ἠϊόνος δ᾽ ἐξῶρτο, δέμας δ᾽ ἔρριψε θαλάσσῃ.
λαμπομένου δ᾽ ἔσπευδεν ἀεί κατεναντία λύχνου,
αὐτός ἐών ἐρέτης, αὐτόστολος, αὐτόματος νῆυς.
Ἠρώ δ᾽, ἠλιβάτοιο φαεσφόρος ὑψόθι πύργου,
λευγαλέῃς αὔρῃσιν ὅθεν πνεύσειεν ἀήτης,

τό μαῦρο πέπλο, πού φέρει τόν ὕπνον εἰς τούς ἀνθρώπους, ὄχι ὅμως καί εἰς τόν Λέανδρον, ὁ ὁποῖος κατείχετο ἀπό τόν πόθον (πρός ἐρωτικήν ἀπόλαυσιν).

Ἀλλά ἀνέμενε κοντά εἰς τίς ἀκτές τῆς πολυθορύβου θαλάσσης ἀγγελίαν λάμπουσαν (φωτεινήν) – μεταδιδομένην μέ τό φῶς τοῦ λύχνου – τῶν γάμων,
παραμονεύων τήν μαρτυρίαν τοῦ πολυκλαύστου λύχνου, πού ἦτο ὁ ἀγγελιαφόρος, ὁ ὁποῖος βλέπει μακρυά, ὁ ἀγγελιαφόρος γιά τό κρυφό κρεββάτι.

Καθώς ὅμως ἡ Ἠρώ εἶδε τήν σκοτεινή μαυρίλα τῆς μαύρης νυκτός,
ἄναψε τόν λύχνον· καί μέ τό ἄναμμα τοῦ λύχνου ὁ Ἔρως ἐφλόγισε τήν καρδιά τοῦ Λεάνδρου, ὁ ὁποῖος ἐβιάζετο·
ἐνῶ δέ ἐκαίετο ὁ λύχνος, μαζί μ᾽ αὐτόν ἐκαίετο καί ὁ Λέανδρος.
Ἀκούων δέ πλησίον τῆς θαλάσσης τόν πολυθόρυβον βόμβον τῶν μαινομένων κυμάτων,
κατ᾽ ἀρχάς μέν ἔτρεμε, ἔπειτα ὅμως, ἀφοῦ ἔλαβε θάρρος, εἶπε αὐτά τά λόγια περίπου ὡς παρηγορητικά τῆς καρδιᾶς του:
Εἶναι φοβερός ὁ Ἔρως, καί ὁ πόντος ὅμως εἶναι ἀμείλικτος (σκληρός)· ἀλλά τῆς θαλάσσης εἶναι τό νερό, ἐμέ ὅμως μέ φλογίζει ἐσωτερικῶς ἡ φωτιά τοῦ Ἔρωτος.
Ἅρπαξε τό πῦρ, καρδιά μου, καί μή φοβῆσαι τό νερό, πού τρέχει (ρέει) ἀφθόνως.
Ἔλα γιά χάρι μου εἰς φιλικήν ἐπαφήν (μέ τό νερό)· διατί λοιπόν ὑπολογίζεις τά κύματα;

Δέν γνωρίζεις, ὅτι ἡ Ἀφροδίτη εἶναι σπαρμένη (γεννημένη) στή θάλασσα καί ὅτι αὐτή εἶναι κυρίαρχος τοῦ πόντου (τῆς θαλάσσης) καί τῶν ἰδικῶν μας θλίψεων;
Ἀφοῦ ὁ Λέανδρος εἶπε αὐτά τά λόγια ἀπέβαλεν ἀπό τά ἀξιέραστα μέλη του (ἀπό τό ἀξιέραστο σῶμά του) καί μέ τά δύο χέρια του τόν πέπλο καί τόν ἔσφιξε στό κεφάλι του καί ἐπήδησεν ἀπό τήν ἀκτήν καί ρίχτηκε στήν θάλασσα.

στίχοι 253-280

Κι᾽ ἔσπευδε συνεχῶς πρός τόν λύχνον, πού ἔλαμπε ἀπό τό ἀπέναντι μέρος,
καί ἦτο αὐτός μόνος καί κωπηλάτης καί καράβι πού ἔπλεε καί ἐκινεῖτο ἀπό μόνο του.
Ἡ δέ Ἠρώ ἀπό ὑψηλά ἀπό τόν ἀπόκρημνον πύργον της ἔφερε τό φῶς (βαστάζουσα τόν λύχνον), καί ἀπό ὅπου ὁ ἄνεμος ἐφυσοῦσε

φάρεϊ πολλάκι λύχνον ἐπέσκεπεν, εἰσόκε Σηστοῦ
πολλά καμών Λείανδρος ἔβη ποτί ναύλοχον ἀκτήν.
καί μιν ἐόν ποτί πύργον ἀνήγαγεν· ἐκ δέ θυράων
νυμφίον ἀσθμαίνοντα περιπτύξασα σιωπῇ,
ἀφροκόμους ραθάμιγγας ἔτι στάζοντα θαλάσσης,
ἤγαγε νυμφοκόμοιο μυχούς ἐπί παρθενεῶνος,
καί χρόα πάντα κάθηρε, δέμας δ' ἔχριεν ἐλαίῳ
εὐόδμῳ, ροδέῳ, καί ἁλίπνοον ἔσβεσεν ὀδμήν.
εἰσέτι δ' ἀσθμαίνοντα βαθυστρώτοις ἐνί λέκτροις
νυμφίον ἀμφιχυθεῖσα φιλήνορας ἴαχε μύθους·

Νυμφίε, πολλά μογήσας, ἃ μή πάθε νυμφίος ἄλλος·
νυμφίε, πολλά μογήσας, ἅλις νύ τοι ἁλμυρόν ὕδωρ,
ὀδμή τ' ἰχθυόεσσα βαρυθγδούποιο θαλάσσης·
δεῦρο, θεούς ἱδρῶτας ἐμοῖς ἐνικάθεο κόλποις.

Ὣς ἡ μέν ταῦτ' εἶπεν· ὁ δ' αὐτίκα λύσατο μίτρην,
καί θεσμῶν ἐπέβησαν ἀριστονόου Κυθερείης.
ἦν γάμος, ἀλλ' ἀχόρευτος· ἔην λέχος, ἀλλ' ἄτερ ὕμνων·
οὐ ζυγίην Ἥρην τις ἐπευφήμησεν ἀοιδός·
οὐ δαῖδων ἤστραπτε σέλας θαλαμηπόλον εὐνήν·
οὐδέ πολυσκάρθμῳ τις ἐπεσκίρτησε χορείῃ,
οὐχ ὑμέναιον ἄεισε πατρ, καί πότνια μήτηρ·
ἀλλά λέχος στορέσασα τελεσσιγάμοισιν ἐν ὥραις,

στίχοι 280-308

σιγή παστόν ἔπηξεν, ἐνυμφοκόμησε δ' ὁμίχλη·
νύξ μέν ἦν κείνοισι γαμοστόλος, οὐδέ ποτ' Ἠώς
νυμφίον εἶδε Λέανδρον ἀριγνώτοις ἐνί λέκτροις·

ἰσχυρές αὖρες, πολλές φορές ἐσκέπαζε τόν λύχνον μέ ἕνα πανί, μέχρις ὅτου ὁ Λέανδρος, ἀφοῦ ὑπέστη πολλές ταλαιπωρίες, ἔβαλε πόδι εἰς τήν ἀκτήν, ὅπου ἀγκυροβολοῦν τά πλοῖα. Καί τότε ἀνέβασε αὐτόν εἰς τόν πύργον της· ἀπό τίς θύρες δέ τοῦ πύργου ἀγκάλιασε σιωπηλά τόν γαμβρόν, πού ἀσθμαινε (ἀνέπνεε δύσκολα), καί ἐνῶ ἔσταζε αὐτός ἀκόμη ἀφρισμένες σταγόνες τῆς θαλάσσης,
τόν ὡδήγησε εἰς τό βάθος τοῦ νυμφικοῦ παρθενικοῦ δωματίου.

Καί ἐκαθάρισε ὅλη τήν ἐπιδερμίδα του, καί τό σῶμά του τό ἄλειφε μέ λάδι εὔοσμο, ρόδινον, καί ἐξήλειψε τήν ὀσμήν, πού ἀπέπνεε τό σῶμά του ἀπό τήν ἁλμύραν τῆς θαλάσσης.

Ἐνώ δέ ἀκόμη ὁ Λέανδρος ἀνέπνεε μέ δυσκολίαν, ἐχύθηκε ἐπάνω του εἰς τά καλοστρωμένα νυμφικά κρεββάτια καί τοῦ ἔλεγε λόγια, πού ἀγαποῦν οἱ ἄνδρες (πού ἀρέσουν εἰς τούς ἄνδρες), (ἤ λόγια ἐνδεικτικά τῆς ἀγάπης της πρός τούς ἄνδρες):
Γαμβρέ μου, πολλά ὑπέφερες, καί σοῦ εἶναι πολύ τό ἁλμυρό νερό καί ἡ ὀσμή ἀπό τά ψάρια τῆς πολυθορύβου θαλάσσης· ἔλα ἐδῶ, καί ἀπόθεσε τούς ἱδρῶτάς σου εἰς τούς ἰδικούς μου κόλπους. Αὐτά τοῦ εἶπε ἐκείνη· κι αὐτός ἀμέσως τῆς ἔλυσε τήν ζώνην, καί ἐφήρμοσαν τούς νόμους τῆς Κυθερείας, πού ἔχει καλάς διαθέσεις.

Ἦτο γάμος, ἀλλά χωρίς χορόν· ἦτο κρεββάτι (γαμήλιος πρᾶξις), ἀλλά χωρίς ὕμνους·
κανείς ἀοιδός δέν εἶπε εὐφημιστικό τραγούδι πρός τιμήν τῆς Ἥρας, πού προστατεύει τόν γάμον·
δέν ἀστραποβόλησε τό φῶς τῶν λαμπάδων εἰς τό νυμφικό κρεββάτι· οὔτε κανείς ἐπήδησε σέ χορό, μέ γρήγορες πολλές κινήσεις,
οὔτε ὁ πατέρας της ἐτραγούδησε τό γαμήλιο τραγούδι οὔτε ἡ σεβαστή μητέρα της·
ἀλλ' ἀφοῦ ἔστρωσε τό κρεββάτι σέ ὥρες, πού τελειώνουν οἱ γάμοι, ἡ σιωπή ἔστησε τόν νυμφικόν θάλαμον καί ἡ Ὁμίχλη (ἡ σκοτεινιά) ἐφρόντισε τήν νύμφην·

στίχοι 281-308

ἡ νύχτα ἦτο ἐκείνη που παρεσκεύασε εἰς αὐτούς τόν γάμον, οὔτε ποτέ ἡ Ἠώς (τό φῶς τῆς ἡμέρας) εἶδε τόν Λέανδρον ὡς γαμβρόν εἰς τά πολυφημισμένα κρεββάτια·

νήχετο δ᾽ ἀντιπόροιο πάλιν ποτί δῆμον Ἀβύδου
ἐννυχίων ἀκόρητος ἔτι πνείων ὑμεναίων.
Ἡρώ δ᾽ ἑλκεαίπεπλος, ἑοὺς λήθουσα τοκῆας,
παρθένος ἡματίη, νυχίη γυνή. ἀμφότεροι δέ
πολλάκις ἠρήσαντο κατελθέμεν ἐς δύσιν Ἠώ.

Ὣς οἱ μέν, φιλότητος ὑποκλέπτοντες ἀνάγκην,
κρυπταδίῃ τέρποντο μετ᾽ ἀλλήλων Κυθερείῃ.
ἀλλ᾽ ὀλίγον ζώεσκον ἐπί χρόνον, οὐδ᾽ ἐπί δηρόν
ἀλλήλων ἀπόναντο πολυπλάγκτων ὑμεναίων·
ἀλλ᾽ ὅτε παχνήεντος ἐπήλυθε χείματος ὥρη,
φρικαλέας δονέουσα πολυστροφάλιγγας ἀέλλας,
βένθεα δ᾽ ἀστήρικτα, θεμείλιά θ᾽ ὑγρά θαλάσσης
χειμέριοι πνείοντες ἀεί στυφέλιζον ἀῆται,
λαίλαπι μαστίζοντες ὅλην ἅλα· τυπτομένης δέ
ἤδη νῆα μέλαιναν ἀνέλκυσε διχθάδι χέρσῳ
χειμερίην καί ἄπιστον ἁλυσκάζων ἅλα ναύτης.
ἀλλ᾽ οὐ χειμερίης σε φόβος κατέρυκε θαλάσσης,
καρτερόθυμε Λέανδρε· διακτορίη δέ σε πύργου,
ἠθάδα σημαίνουσα φαεσφορίην ὑμεναίων,
μαινομένης ὤτρυνεν ἀφειδήσαντα θαλάσσης,
νηλειής καί ἄπιστος. ὄφελλε δέ δύσμορος Ἡρώ
χείματος ἱσταμένοιο μένειν ἀπάνευθε Λεάνδρου,
μηκέτ᾽ ἀναπτομένη μινυώριον ἀστέρα λέκτρων,
ἀλλά πόθος καί μοῖρα βιήσατο· θελγομένη δέ
μοιράων ἀνέφαινε, καί οὐκέτι δαλόν Ἐρώτων.

Νύξ ἦν, εὖτε μάλιστα βαρυπνείοντες ἀῆται,
καί κολυμποῦσε πάλιν πρός τήν περιοχήν τῆς Ἀβύδου, πού ἦτο ἀπέναντι (ἀπό τήν Σηστόν), ἀναπνέων ἀκόμη ἀχόρταστος τούς ὁλονύκτιους γάμους.

Ἡ δέ Ἡρώ μέ τόν ἑλικοειδῆ πέπλον, λησμονοῦσα τούς ἰδικούς της γονεῖς, κατά μέν τήν ἡμέραν ἦτο παρθένος, κατά δέ τήν νύκτα γυνή (γυναῖκα παντρεμένη). Καί οἱ δύο τους πολλές φορές ηὐχήθησαν νά κατέβῃ εἰς τήν δύσιν ἡ Ἠώς (νά νυκτώσῃ).

Ἔτσι αὐτοί (ὁ Λέανδρος καί ἡ Ἡρώ) ἀποκρύπτοντες τήν ἐρωτικήν των ἀνάγκην,
ἐτέρποντο μεταξύ των ἀπό τήν κρυφήν Κυθέρειαν.
Ἀλλά ἔζησαν ὀλίγον χρόνον, καί οὔτε ἀπέλαυσαν ἐπί πολύ μεταξύ των τούς πολυπλανεμένους γάμους των·
ἀλλ᾽ ὅταν ἦλθεν ἡ ἐποχή τοῦ παγεροῦ χειμῶνος, πού ἐδονοῦνταο φρικτές αἱ πολυστρόβιλες θύελλες,
τά δέ ἀσταθῆ βάθη καί τά ὑγρά θεμέλια τῆς θαλάσσης τά ἐτράνταζαν συνεχῶς οἱ ἄνεμοι, πού φυσοῦν τόν χειμῶνα, καί ἐμαστίγωναν ὅλην τήν θάλασσαν μέ λαίλαπας·
ἐνῶ δέ ἤδη χτυπιόταν ἀπό τά κύματα ἡ θάλασσα,
ἀνέσυρε μαῦρο καράβι ἀπό τήν εἰς δύο διῃρημένην ξηράν, ἐπειδή ὁ ναύτης ἤθελε νά ἀποφύγῃ τήν χειμερινήν καί μή παρέχουσαν ἐμπιστοσύνην θάλασσαν.

Ἀλλά οὔτε ὁ φόβος τῆς χειμερινῆς θαλάσσης σέ ἠμπόδισε, ἰσχυρόκαρδε Λέανδρε· ἡ ὑπηρεσία ὅμως τοῦ πύργου, πού ἐσήμαινε (πού σοῦ ἔκαμνε σήματα) τό συνειθισμένο φώτισμα τῶν γάμων,
σέ παρώτρυνε νά ἀδιαφορήσῃς διά τήν μαινομένην θάλασσαν, ἡ ἀσπλαγχνος καί ἀναξιόπιστος. Ἀλλ᾽ εἴθε ἡ δυστυχής Ἡρώ διαρκοῦντος τοῦ χειμῶνος (κατά τήν διάρκειαν τοῦ χειμῶνος) νά ἔμενε μακρυά ἀπό τόν Λέανδρον καί νά μή ἄναπτε πλέον τόν ὀλιγοχρόνιον ἀστέρα (τόν λύχνον) τῶν κρεββατιῶν (γιά τό κρεββάτι).

Ἀλλά τήν ἐξηνάγκασε ὁ πόθος καί ἡ μοῖρα· ἐπειδή δέ ἦτο μαγευμένη, ἄναβε τό δαυλί γιά τίς μοῖρες, καί δέν ἄναβε πλέον τό δαυλί τῶν Ἐρώτων.

Ἦτο νύχτα, ὅταν ἄνεμοι πνέοντες μέ πολύ μεγάλην σφοδρότητα,

χειμερίῃς πνοιῇσιν ἀκοντίζοντες ἀῆται,
ἀθρόον ἐμπίπτουσιν ἐπί ρηγμῖνι θαλάσσης.
δή τότε καί Λείανδρος, ἐθήμονος ἐλπίδι νύμφης,
δυσκελάδων πεφόρητο θαλασσαίων ἐπί νώτων.
ἤδη κύματι κῦμα κυλίνδετο, σύγχυτο δ' ὕδωρ·
αἰθέρι μίσγετο πόντος· ἀνέγρετο πάντοθεν ἠχή
μαρναμένων ἀνέμων· Ζεφύρῳ δ' ἀντέπνεεν Εὖρος,
καί Νότος ἐς Βορέην μεγάλας ἀφέηκεν ἀπειλάς·
καί κτύπος ἦν ἁλίαστος ἐρισμαράγοιο θαλάσσης.
αἰνοπαθής δέ Λέανδρος ἀκηλήτοις ἐνί δίναις
πολλάκι μέν λιτάνευσε θαλασσαίην Ἀφροδίτην,
πολλάκι δ' αὐτόν ἄνακτα Ποσειδάωνα θαλάσσης·
ἀτθίδος οὐ Βορέην ἀμνήμονα κάλλιπε νύμφης·
ἀλλά οἱ οὔτις ἄρηγεν, Ἔρως δ' οὐκ ἤρκεσε Μοίρας.
πάντοθι δ' ἀγρομένοιο δυσαντέϊ κύματος ὁρμῇ
τυπτόμενος πεφόρητο, ποδῶν δέ οἱ ὤκλασεν ὁρμή,
καί σθένος ἦν ἀδόνητον ἀκοιμήτων παλαμάων.
πολλή δ' αὐτόματος χύσις ὕδατος ἔρρεε λαιμῷ,
καί ποτόν ἀχρῄϊστον ἁμαιμακέτου πίεν ἅλμης·
καί δή λύχνον ἄπιστον ἀπέσβεσε πικρός ἀήτης,
καί ψυχήν καί ἔρωτα πολυτλήτοιο Λεάνδρου.

Ἡ δ', ἔτι δηθύνοντος, ἐπ' ἀγρύπνοισιν ὀπωπαῖς ἵστατο, κυμαίνουσα πολυκλαύτοισι μερίμναις.
ἦλυθε δ' Ἠριγένεια, καί οὐκ ἴδε νυμφίον Ἡρώ.
πάντοθι δ' ὄμμα τίταινεν ἐπ' εὐρέα νῶτα θαλάσσης,

ἄνεμοι, πού ἔρριπταν ἀκόντια μέ τά χειμερινά φυσήματα, ἐπέπεσαν ὁμαδικά ἐπάνω στήν ἀκρογιαλιά.
Τότε ἀκριβῶς καί ὁ Λέανδρος, μέ τήν ἐλπίδα τῆς νύμφης, πού εἶχε συνηθίσει,
παρεσύρετο ἐπάνω εἰς τά νῶτα τῶν κακόηχων θαλασσίων κυμάτων.

Ἤδη τό ἕνα κῦμα ἐκυλίετο ἐπάνω εἰς τό ἄλλο καί τό νερό ἀνακατωνόταν·
ὁ πόντος ἀνεμειγνύετο μέ τόν αἰθέρα· καί ἀπό ὅλες τίς μεριές ἀνεσηκώνετο ἡ βοή τῶν ἀλληλομαχομένων κυμάτων· ὁ Εὖρος ἔπνεεν ἐναντίον τοῦ Ζεφύρου, καί ὁ Νότος ἄφινε μεγάλας ἀπειλάς ἐναντίον τοῦ Βορρᾶ·
καί ὁ κρότος τῆς πολυθορύβου θαλάσσης ἦτο ἀκατάπαυστος.

Ὁ δέ δυστυχής Λέανδρος μέσα στούς ἀδυσώπητους θαλασσοστροβίλους πολλές φορές παρεκάλεσε τήν θαλασσινήν Ἀφροδίτην καί πολλές πάλιν φορές τόν ἴδιον τόν ἄνακτα τῆς θαλάσσης, τόν Ποσειδῶνα·
καί δέν ἄφησεν ἀμνημόνευτον τόν Βορέαν τῆς Ἀττικῆς νύμφης·
ἀλλά κανείς ἀπ' αὐτούς δέν τόν ἐβοήθησε, καί ὁ Ἔρως δέν ἀπέκρουσε τάς μοίρας.

Κτυπούμενος δέ ὁ Λέανδρος ἀπό παντοῦ ἀπό τήν ἀκαταγώνιστον ὁρμήν τῶν ἐγειρομένων κυμάτων ἐφέρετο ἀπό ἐδῶ καί ἀπό ἐκεῖ, ἡ ὁρμή δέ τῶν ποδῶν του ἐγονάτισε (ἐκάμφθη), καί ἡ δύναμις τῶν διαρκῶς (ἀδιακόπως) κινουμένων χεριῶν του ἦτο ἀκλόνητος.

Καί πολύ νερό ἔρρεε (ἔτρεχε) αὐτομάτως ἀπό τόν λαιμόν του, καί ἔπιε ἄχρηστο ἁλμυρό ποτό ἀπό τήν ἀπέραντη θάλασσα·
καί τότε ἔσβησε ὁ πικρός ἄνεμος τόν λύχνον καί μαζί μ' αὐτόν καί τήν ψυχήν (τήν ζωήν) καί τόν ἔρωτα τοῦ πολυταλαιπωρημένου Λεάνδρου.

Ἐκείνη δέ, ἐπειδή ἀκόμη ἀργοποροῦσε (ὁ Λέανδρος), ἐστέκετο μέ ξαγρυπνημένα μάτια, ταραγμένη ἀπό τίς πολύκλαυστες ἀνησυχίες της.

Καί ἦλθεν ἡ Αὐγή, καί ἡ Ἡρώ δέν εἶδε τόν

εἴ που ἐσαθρήσειεν ἀλώμενον ὄν παρακοίτην

στίχοι 335-340

λύχνου σβεννυμένοιο. παρά κρηπῖδα δέ πύργου
θρυπτόμενον σπιλάδεσσιν ὅτ' ἔδρακε νεκρόν ἀκοίτην δαιδαλέον ῥήξασα περί στήθεσσι χιτῶνα,
ροιζηδόν προκάρηνος ἀπ' ἠλιβάτου πέσε πύργου.
κάδ' δ' Ἥρώ τέθνηκεν ἐπ' ὀλλυμένῳ παρακοίτῃ,
ἀλλήλων δ' ἀπόναντο καί ἐν πυμάτῳ περ ὀλέθρῳ.

γαμβρόν, καί παντοῦ ἔστρεφε τά μάτια της εἰς τήν εὐρεῖαν ἐπιφάνειαν τῆς θαλάσσης,

στίχοι 335-340

μήπως ἀτενίσῃ τόν σύζυγόν της περιπλανώμενον κάπου, ἐνῶ ἔσβηνεν ὁ λύχνος. Ὅταν ὅμως εἶδε νεκρόν τόν σύζυγόν της πλησίον εἰς τήν βάσιν (εἰς τά θεμέλια) τοῦ πύργου, κομματιασμένον ἐπάνω εἰς τούς βράχους,
διέρρηξε (ἐξέσχισε) τόν ὡραῖον χιτῶνα γύρω ἀπό τά στήθη της κι' ἔπεσε ἀπό τόν ὑψηλόν πύργον μέ τό κεφάλι πρός τά κάτω μετά πολλοῦ θορύβου.

Κι' ἀπέθανε ἡ Ἥρώ ἐπάνω εἰς τόν χαμένον σύζυγόν της, ἀπέλαυσε δέ ὁ ἕνας τόν ἄλλον καί κατά τήν τελευταίαν καταστροφήν.

ΣΧΟΛΙΑ

Καί τό κεφάλαιον τῶν Ὀρφικῶν «Ἥρώ καί Λέανδρος», πού ἀποδίδεται εἰς τόν Μουσαῖον, δέν ἔχει κανένα ἰδιαίτερον ἐνδιαφέρον διά τόν μελετητήν τῶν Ὀρφικῶν, ἀπό πλευρᾶς κοσμογονίας, θεογονίας κ.τ.λ., διότι ὅπως ἀποδεικνύεται καί ἀπό τήν γλῶσσαν τοῦ κειμένου φαίνεται ὅτι ἔχει γραφῆ, πολύ ἀργότερα καί δέν περιέχει τίποτε τό σημαντικόν παρά μόνον τήν εἰδυλλιακήν περιπέτειαν καί τόν τραγικόν θάνατον τῆς Ἡροῦς καί τοῦ Λεάνδρου.

Ἐν τούτοις εἰς τούς στίχους 38-40 ἐπισημαίνεται ἡ ἀθεπράπευτος καί αἰωνία ζήλεια τῆς γυναικός, ἤ καί τῶν γυναικῶν, κατά κάποιας καλυτέρας, ἀνωτέρας, ἤ πιό ὁμορφης ἀπό τίς ἄλλες, ἐνῶ εἰς τούς στίχους 95-97 ἀνευρίσκεται ἡ καθιερωμένη πλέον διά μέσου τῶν αἰώνων ἀντίληψις περί τῆς πρώτης ἐκδηλώσεως τοῦ ἐρωτικοῦ δεσμοῦ, ὁ ὁποῖος καί κατά τό ἀρχαῖον κείμενον, «κάλλος γάρ περίπτυστον ἀμωμήτοιο γυναικός ὀξύτερον μερόπεσσι πέζει πτερόεντος ὀϊστοῦ· ὀφθαλμός δ' ὁδός ἔστιν· ἀπ' ὀφθαλμοῖο βολάνον ἕλκος ὀλισθαίνει καί ἐπί φρένας ἀνδρός ὁδεύει. (δηλαδή: Τό περιπόθητον κάλλος ἀψόγου γυναικός καθίσταται ὀξύτερον εἰς τούς ἀνθρώπους ἀπό ἕνα πτερωτό βέλος· καί τό μάτι (τό κοίταγμα μέ τό μάτι) εἶναι ὁ δρόμος· καί ἀπό τίς βολές τοῦ ματιοῦ γλυστράει ἡ πληγή (ἡ ἐρωτική πληγή) καί βαδίζει πρός τήν καρδιά τοῦ ἀνδρός), δηλαδή ὅπως καί σήμερον λέγομεν «ἀπό τά μάτια πιάνεται, στά χείλη κατεβαίνει κι' ἀπό τά χείλη στήν καρδιά ριζώνει καί δέν βγαίνει».

Ι.Δ.Π.

ΥΜΝΟΙ ΚΑΛΛΙΜΑΧΟΥ ΚΑΙ ΕΠΙΓΡΑΜΜΑΤΑ

ΑΡΧΑΙΟΝ ΚΕΙΜΕΝΟΝ

ΥΜΝΟΙ ΚΑΛΛΙΜΑΧΟΥ ΚΑΙ ΕΠΙΓΡΑΜΜΑΤΑ

ΜΕΤΑΦΡΑΣΙΣ

(1) ΥΜΝΟΣ ΕΙΣ ΔΙΑ

στίχοι 1-18

Ζηνός ἔοι τί κεν ἄλλο παρά σπονδῆσιν ἀείδειν
λώϊον, ἤ θεόν αὐτόν, ἀεί μέγαν, αἰέν ἄνακτα,
Πηλαγόνων ἐλατῆρα, δικασπόλον οὐρανίδῃσι;
πῶς καί νιν, Δικταῖον ἀείσομεν ἠέ Λυκαῖον;
ἐν δοιῇ μάλα θυμός· ἐπεί γένος ἀμφήριστον.
Ζεῦ, σέ μέν Ἰδαίοισιν ἐν οὔρεσί φασι γενέσθαι,
Ζεῦ, σέ δ' ἐν Ἀρκαδίῃ. πότεροι, πάτερ, ἐψεύσαντο;
Κρῆτες ἀεί ψεῦσται· καί γάρ τάφον, ὦ ἄνα, σεῖο
Κρῆτες ἐτεκτήναντο, σύ δ' οὐ θάνες· ἐσσί γάρ αἰεί.
ἐν δέ σε Παρρασίῳ Ρείη τέκεν, ἦχι μάλιστα
ἔσκεν ὄρος θάμνοισι περισκεπές· ἔνθεν ὁ χῶρος
ἱερός· οὐδέ τί μιν κεχρημένον Εἰλειθυίης
ἑρπετόν, οὐδέ γυνή ἐπινίσσεται. ἀλλά ἔ Ρείης
ὠγύγιον καλέουσι λεχώϊον Ἀπιδανῆες.
ἔνθα σ' ἐπεί μήτηρ μεγάλων ἀπεθήκατο κόλπων,
αὐτίκα δίζητο ῥόον ὕδατος, ᾧ κε τόκοιο
λύματα χυτλώσαιτο, τεόν δ' ἐνί χρῶτα λοέσσαι.
Λάδων ἀλλ' οὔπω μέγας ἔρρεεν, οὐδ' Ἐρύμανθος,

στίχοι 19-46

λευκότατος ποταμῶν. ἔτι δ' ἄβροχος ἦεν ἅπασα
Ἀρκαδίη· (μέλλεν δέ μάλ' εὔυδρος καλέεσθαι
αὖτις) ἐπεί τημόσδε, Ρέη ὅτ' ἐλύσατο μίτρην,

στίχοι 1-18

Πῶς ἀλλοιῶς καλλίτερα θά μποροῦσε κανείς νά τραγουδήσῃ (νά ὑμνήσῃ) κατά τίς θυσίες τόν Δία
παρά νά τόν εἴπῃ θεόν, πάντοτε μέγαν, αἰώνιον ἄνακτα,
διώκτην τῶν Πηλαγόνων, δικαστήν τῶν ἐπουρανίων θεῶν;
Πῶς θά τόν ἐξυμνήσωμεν, ὡς Δικταῖον ἤ ὡς Λυκαῖον;
Ὁ νοῦς μου εὑρίσκεται σέ μεγάλη ἀμφιβολία· διότι τό γένος του (ἡ γενεά του) εἶναι ἀμφισβητήσιμον.
Ὦ Δία, ἄλλοι μέν λέγουν ὅτι ἐγεννήθης εἰς τά Ἰδαῖα βουνά (εἰς τήν Ἴδην),
ἄλλοι ὅμως, Δία, λέγουν ὅτι ἐγεννήθης εἰς τήν Ἀρκαδίαν· ποιοί ἀπό τούς δύο, πατέρα μας, εἶπαν ψέματα;
Οἱ Κρῆτες λέγουν πάντοτε ψέματα· καί πρός τούτοις εἶπαν ψέματα, διότι κατεσκεύασαν γιά σένα τάφον· ἐσύ ὅμως δέν ἀπέθανες· διότι εἶσαι αἰώνιος.
Ἀλλά ἐσένα σέ γέννησε ἡ Ρέα εἰς τό Παρράσιον, ὅπου ἦτο ἕνα βουνό πολυσκέπαστο μέ θάμνους· γι' αὐτόν τόν λόγο ὁ τόπος αὐτός εἶναι ἱερός· οὔτε κανένα ἑρπετόν, πού ἔχει ἀνάγκην τῆς Εἰλειθυίας, πλησιάζει αὐτόν τόν τόπον, οὔτε καμμιά γυναῖκα· ἀλλά οἱ Ἀπιδανεῖς τόν ὀνομάζουν τόπον, ὅπου σέ ἀρχαιοτάτη ἐποχή ἐγέννησεν ἡ Ρέα τό παιδί της.
Κι' ἀφοῦ ἡ μητέρα σου σέ ἀπέθεσε ἐδῶ ἀπό τούς μεγάλους κόλπους της,
ἀναζητοῦσε ἀμέσως νερό τρεχούμενο, διά νά μπορέσῃ νά ξεπλύνῃ τάς ἀκαθαρσίας τοῦ τοκετοῦ, καί μέσα σ' αὐτό νά λούσῃ τό ἰδικόν σου σῶμα.
Ἀλλά ὁ Λάδων δέν ἦτο ἀκόμη μεγάλος πο-

στίχοι 19-46

ταμός, οὔτε ὁ Ἐρύμανθος, ὁ λευκότερος (ὁ καθαρώτερος) ἀπό ὅλους τούς ποταμούς· καί ὅλη γενικῶς ἡ Ἀρκαδία ἦτο ἀκόμη χώρα ἄνυδρος (χωρίς νερά)· ἔμελλε ὅμως πάλιν νά ὀνομάζεται χώρα μέ πολλά καί καλά νερά, ἐπειδή τότε, ὅταν ἡ Ρέα ἔλυσε τήν ζώνην της (ὅταν

ἡ πολλὰς ἐφύπερθε σαρωνίδας ὑγρὸς Ἰάων
ἤειρεν, πολλὰς δέ Μέλας ὤχησεν ἀμάξας,
πολλὰ δέ Καρνίωνος ἄνω, διεροῦ περ ἐόντος,
ἰλυούς ἐβάλοντο κινώπετα· νίσσετο δ' ἀνὴρ
πεζὸς ὑπὲρ Κρᾶθίν τε, πολύστειόν τε Μετώπην
διψαλέος· τὸ δέ πολλὸν ὕδωρ ὑπό ποσσίν ἔκειτο.
καί ρ' ὑπ' ἀμηχανίης σχομένη φάτο πότνια Ρείη·
Γαῖα φίλη, τέκε καί σύ· τεαί δ' ὠδῖνες ἐλαφραί.
εἶπε, καί ἀντανύσασα θεά μέγαν ὑψόθι πῆχυν,
πλῆξεν ὄρος σκήπτρῳ· τὸ δέ οἱ δίχα πουλύ διέστη,
ἐκ δ' ἔχεεν μέγα χεῦμα. τόθι χρόα φαιδρύνασα,
ὤνα, τεόν σπείρωσε, Νέδῃ δέ σε δῶκε κομίσσαι
κευθμῶν· ἐς Κρηταῖον, ἵνα κρύφα παιδεύοιο
πρεσβυτάτῃ νυμφέων, αἵ μιν τότε μαιώσαντο,
πρωτίστῃ γενεῇ, μετά γε Στύγα τε Φιλύρην τε.
οὐδ' ἀλίην ἀπέτισε θεή χάριν· ἀλλά τό χεῦμα
κεῖνο Νέδην ὀνόμηνε· τό μέν ποθι πουλύ κατ' αὐτό
Καυκώνων πτολίεθρον, ὅ Λέπρειον πεφάτισται,
συμφέρεται Νηρῆϊ· παλαιότατον δέ μιν ὕδωρ υἱωνοί πίνουσι Λυκαονίης ἄρκτοιο.
εὖτε Θενάς ἀπέλειπεν, ἐπί Κνωσσοῖο φέρουσα,
Ζεῦ πάτερ, ἡ Νύμφη σε, (Θεναί δ' ἔσαν ἐγγύθι Κνωσσοῦ)
τουτάκι τοι πέσε, δαῖμον, ἀπ' ὀμφαλός· ἔνθεν ἐκεῖνο
Ὀμφάλιον μετέπειτα πέδον καλέουσι Κύδωνες.
Ζεῦ, σέ δέ Κυρβάντων ἔταραι προσεπηχύναντο

στίχοι 47-75

Δικταῖαι Μελίαι, σέ δέ κοίμισεν Ἀδρήστεια

ἐγέννησε), ὁ βροχερός Ἰάων ἐσήκωσε ἀπό ἐπάνω της πολλές καταιγίδες καί ὁ Μέλας ἔφερε πολλά ἄροτρα (γιά ὄργωμα),
καί πολλά φίδια ἔστησαν τίς φωλιές των ἐπάνω ἀπό τόν Καρνίωνα, καίτοι αὐτός ἦτο ὑγρός· κάποιος δέ πεζός ἄνθρωπος ἐπορεύετο διψασμένος ἐπάνω ἀπό τήν Κρᾶθιν καί τήν Μετώπην, πού εἶχε πολλά μικρά λιθάρια· τό πολύ ὅμως νερό εὑρίσκετο στά πόδια του. Καί τότε ἡ Ρέα ἡ σεβαστή καταληφθεῖσα ἀπό ἀμηχανίαν εἶπε: Ἀγαπητή μου Γῆ, γέννησε καί σύ· οἱ ἰδικοί σου πόνοι ἀπό τόν τοκετόν εἶναι ἐλαφροί.

Αὐτά εἶπε, καί ἀφοῦ ἡ θεά ἐτέντωσε πρός τά ὑψηλά τό μεγάλο χέρι της,
ἐκτύπησε μέ τό σκῆπτρόν της τό βουνό· κι' αὐτό ἐχωρίσθη σέ δύο εἰς μεγάλην ἔκτασιν,
καί ἔχυνε πολύ νερό· καί ἀφοῦ ἐδῶ ἐκαθάρισε, βασιληᾶ μου, τό σῶμά σου, τό ἐσπαργάνωσε, καί σέ παρέδωσε εἰς τήν Νέδην νά σέ μεταφέρῃ εἰς τόν Κρητικόν κρυψῶνα, διά νά ἐκπαιδεύεσαι (νά ἀνατρέφεσαι) κρυφά·
εἰς τήν Νέδην, πού ἦτο ἡ μεγαλυτέρα κατά τήν ἡλικίαν ἀπό τίς νύμφες, πού ἐβοήθησαν αὐτήν (τήν Ρέα) τότε νά γεννήσῃ, καί ἀνῆκε εἰς τήν πρώτην-πρώτην γενεάν, ὕστερα ἀπό τήν Στύγα καί τήν Φιλύραν.

Οὔτε ματαίαν χάριν (εὐγνωμοσύνην) ἀπέδωσεν (εἰς τήν Νέδην) ἡ θεά· ἀλλά τό νερό ἐκεῖνο (τό ποτάμι ἐκεῖνο) τό ὠνόμασε Νέδην· αὐτό λοιπόν τό ποτάμι πλησίον εἰς αὐτήν τήν πόλιν τῶν Καυκώνων, ἡ ὁποία λέγεται Λέπρειον,
συμπορεύεται εἰς μεγάλην ἔκτασιν μέ τόν Νηρέα· τό παλαιότατον δέ αὐτό νερό τό πίνουν οἱ ἔγγονοι τῆς Λυκαονίας ἄρκτου.

Ὅταν ἡ Νύμφη (ἡ Νέδη), πού σέ μετέφερε εἰς τήν Κνωσσόν, σέ ἄφησε, Δία πατέρα μας, εἰς τάς Θενάς - αἱ δέ Θεναί ἦσαν πλησίον τῆς Κνωσσοῦ -
τότε σοῦ ἔπεσε, θεέ μου, ὁ ὀμφαλός· ἐξ αἰτίας αὐτοῦ ἐκείνην τήν περιοχήν ὠνόμασαν ἔπειτα οἱ Κύδωνες Ὀμφάλιον.

Ἀλλά ἐσένα, Δία, σέ ἐπῆραν εἰς τήν ἀγκαλιά των αἱ Δικταῖαι Μελίαι (αἱ Μελίαι τῆς Δί-

στίχοι 47-75

κτης), αἱ σύντροφοι τῶν Κορυβάντων, καί σέ ἀπεκοίμισε ἡ Ἀδράστεια

λίκνῳ ἐνί χρυσέῳ· σύ δ' ἐθήσαο πίονα μαζόν
αἰγός Ἀμαλθείης, ἐπί δέ γλυκύ κηρίον ἔβρως.
γέντο γάρ ἐξαπίναια Πανακρίδος ἔργα μελίσσης
Ἰδαίοις ἐν ὄρεσσι, τά τε κλείουσι Πάνακρα.
οὗλα δέ Κούρητές σε περί πρύλιν ὠρχήσαντο
τεύχεα πεπλήγοντες, ἵνα Κρόνος οὔασιν ἠχήν
ἀσπίδος εἰσαΐοι, καί μή σεο κουρίζοντος.
Καλά μέν ἠέξευ, καλά δ' ἐτράφευ, οὐράνιε Ζεῦ.
ὀξύ δ' ἀνήβησας, ταχινοί δέ τοι ἦλθον ἴουλοι.
ἀλλ' ἔτι παιδνός ἐών ἐφράσσαο πάντα τέλεια·
τῷ τοι καί γνωτοί, προτερηγενέες περ ἐόντες,
οὐρανόν οὐκ ἐμέγηραν ἔχειν ἐπιδαίσιον οἶκον.
δηναιοί δ' οὐ πάμπαν ἀληθέες ἦσαν ἀοιδοί.
φάντο πάλον Κρονίδῃσι διά τρίχα δώματα νεῖμαι·
τίς δέ κ' ἐπ' Οὐλύμπῳ τε καί Ἄϊδι κλῆρον ἐρύσσαι,
ὅς μάλα μή νενίηλος; ἐπ' ἰσαίῃ γάρ ἔοικε
πήλασθαι· τά δέ τόσσον ὅσον διά πλεῖστον ἔχουσι.
ψευδοίμην ἀΐοντος ἃ κεν πεπίθοιεν ἀκουήν.
οὔ σε θεῶν ἐσσῆνα πάλοι θέσαν, ἔργα δέ χειρῶν,
ἥ τε Βίη, τό τε Κάρτος, ὅ καί πέλας εἴσαο δίφρου.
θήκαο δ' οἰωνόν μέγ' ὑπείροχον ἀγγελιώτην
σῶν τεράων· ἄτ' ἐμοῖσι φίλοις ἐνδέξια φαίνοις.
εἵλεο δ' αἰζηῶν ὅ,τι φέρτατον· οὐ σύ γε νηῶν
ἐμπεράμους, οὐκ ἄνδρα σακέσπαλον, οὐ μέν ἀοιδόν.
ἀλλά τά μέν μακάρεσσιν ὀλίζοσιν αὖθι παρῆκας,
ἀλλά μέλειν ἑτέροισι. σύ δ' ἐξέλεο πτολιάρχους

μέσα εἰς χρυσό λίκνο· σύ παρετήρησες τόν παχύν μαστόν τῆς γίδας Ἀμαλθείας κι' ἔφαγες ἀκόμη τό γλυκό κηρί (τό μέλι). Ἔγιναν δηλαδή τά ξαφνικά ἔργα τῆς Πανακρίδος μελίσσης εἰς τά Ἰδαῖα βουνά, πού τά ὀνομάζουν Πάνακρα.
Κρούοντες δέ οἱ Κουρῆτες τά καταστρεπτικά ὅπλα των ἐχόρευσαν γύρω ἀπό σέ τόν ἐνόπλιον χορόν, διά νά ἀκούῃ ὁ Κρόνος μέ τά αὐτιά του τόν ἦχον τῆς ἀσπίδος καί ὄχι ἐσένα πού ἦσο νεανίας.
Καί ὡραῖα ἀνεπτύχθης, ὡραῖα ἀνετράφης, ἐπουράνιε Δία, γρήγορα ἔγινες ἔφηβος καί ταχέως σοῦ ἦλθαν οἱ ἴουλοι (ταχέως ἔβγαλες ἰούλους, γένεια)
Ἀλλά ἐνῶ ἦσο ἀκόμη παιδί, τά ἐσκέφθης ὅλα κατά τέλειον τρόπον·
διά τοῦτο καί οἱ γνωστοί, καίτοι ἦσαν παλαιότεροί σου, δέν ἐφθόνησαν νά ἔχουν τόν οὐρανόν ὡς κοινόν οἶκον (ὡς κοινήν κατοικίαν).
Οἱ δέ ἀοιδοί (οἱ τραγουδιστές) δέν ἦσαν ἐπί πολύν χρόνον ἐντελῶς ἀληθινοί (δέν ἔλεγαν ὁλοκληρωτικῶς τήν ἀλήθειαν). Ἔλεγαν δηλαδή ὅτι κλῆρος ἐμοίρασε εἰς τούς Κρονίδας (τούς υἱούς τοῦ Κρόνου) τήν κατοικίαν τῶν θεῶν εἰς τρία μέρη·
ἀλλά ποῖος θά ἠμποροῦσε νά σύρῃ τόν κλῆρον διά τόν Ὄλυμπον καί τόν Ἅδην,
ἐκτός ἀπό ἐκεῖνον πού θά ἦτο πολύ ἀνόητος; διότι φαίνεται ὅτι οἱ Κρονίδαι ἔλαβον ἴσα μερίδια διά κλήρου· ἀπό δέ τά ἄλλα ἔχουν τόσα ὅσον τό δυνατόν περισσότερα.
Θά ἐψευδόμην ἐγώ, ἄν ἐκεῖνοι ἔπειθον αὐτόν πού τούς ἀκούει.
Ἐσένα ὅμως δέν σέ ἔβαλαν βασιλέα οἱ κλῆροι, ἀλλά τά ἔργα τῶν χειρῶν σου, (αἱ πράξεις σου),
καί ἡ βία καί τό κράτος (ἡ δύναμις), πού τό ἔβαλες νά καθίσῃ πλησίον εἰς τόν δίφρον σου (τό ἅρμα σου).
Ἐτοποθέτησες δέ τό πτηνόν (τόν ἀετόν) ὡς ὑπέροχον ἀγγελιαφόρον τῶν ἰδικῶν σου σημείων (τῶν σημαδιῶν σου)· αὐτά εἴθε νά φανερώνῃς εἰς τούς ἰδικούς μου φίλους πρός τά δεξιά (εὐοίωνα).
Καί ἐξέλεξες ἀπό τούς ἄνδρας ὅ,τι εἶναι ἄριστον· διότι ἐσύ δέν ἐξεχώρισες (δέν ἐξέλεξες) ἐκείνους, πού εἶναι ἔμπειροι στά πλοῖα (τούς ναυτικούς), οὔτε ἄνδρα πολεμικόν (ἱκανόν εἰς τόν πόλεμον), οὔτε βέβαια ἀοιδόν (τραγουδιστήν),
ἀλλ' ἄλλα ἀπό αὐτά τά ἀνέθεσες πάλιν εἰς ὀλίγους θεούς, ἄλλα δέ ἐπέτρεψες νά τά φροντίζουν ἄλλοι. Σύ ὅμως ἐξέλεξες τούς ἰδίους τούς ἀρχηγούς - τούς ἄρχοντας τῶν πόλεων, ὑπό τήν ἐξουσίαν τῶν ὁποίων εἶναι ὁ γαιο-

αὐτούς, ὧν ὑπό χεῖρα γεωμόρος, ὧν ἴδρις αἰχμῆς,
ὧν ἐρέτης, ὧν πάντα· τί δ᾽ οὐ
κρατέοντος ὑπ᾽ ἰσχύν;

στίχοι 76-90

αὐτίκα χαλκῆας μέν ὑδείομεν Ἡφαίστοιο·
τευχηστάς δ᾽ Ἄρηος· ἐπακτῆρας δέ Χιτώνης
Ἀρτέμιδος· Φοίβου δέ, λύρης εὖ εἰδότας οἴμους.
ἐκ δέ Διός βασιλῆες· ἐπεί Διός οὐδέν ἀνάκτων
θειότερον. τῷ καί σφι τεήν ἐκρίναο λᾶξιν·
δῶκας δέ πτολίεθρα φυλασσέμεν· ἵζεο δ᾽ αὐτός
ἄκρῃς ἐν πτολίεσσιν, ἐπόψιος οἵ τε δίκῃσι
λαόν ὑπό σκολιῇς, οἵ τ᾽ ἔμπαλιν ἰθύνουσιν.
ἐν δέ ρυηφενίην ἔβαλές σφισιν, ἐν δ᾽ ἄλις ὄλβον·
πᾶσι μέν, οὐ μάλα δ᾽ ἴσον. ἔοικε δέ τεκμήραὀθαι
ἡμετέρῳ μεδέοντι· περί πρό γάρ εὐρύ βέβηκεν.
ἐσπέριος κεῖνός γε τελεῖ τά κεν ἦρι νοήσῃ·
ἐσπέριος τά μέγιστα, τά μείονα δ᾽ εὖτε νοήσῃ.
οἱ δέ τά μέν πλειῶνι, τά δ᾽ οὐχ ἑνί· τῶν δ᾽ ἀπό πάμπαν αὐτός ἄνην ἐκόλουσας, ἐνέκλασας δέ μενοινήν.

Χαῖρε μέγα. Κρονίδη πανυπέρτατε, δῶτορ ἐάων, δῶτορ ἀπημονίης· τεά δ᾽ ἔργματα τίς κεν ἀείδοι;
οὐ γένετ᾽, οὐκ ἔσται· τίς κεν Διός ἔργματ᾽ ἀείσει;
χαῖρε, πάτερ, χαῖρ᾽ αὖθι· δίδου δ᾽ ἀρετήν τ᾽ ἄφενός τε.
οὔτ᾽ ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν, οὐτ᾽ ἀρετή ἀφένοιο.
δίδου δ᾽ ἀρετήν τε καί ὄλβον.

κτήμων, ὁ γνώστης τοῦ δόρατος (ὁ πολεμιστής), ὁ κωπηλάτης (ὁ ναυτικός), τά πάντα· τί δέν εἶναι κάτω ἀπό τήν δύναμιν τοῦ κυριάρχου;

στίχοι 76-90

Τώρα ἐγκωμιάζομεν βέβαια τούς χαλκουργούς τοῦ Ἡφαίστου, τούς πολεμιστάς τοῦ Ἄρεως, τούς κυνηγούς τῆς Χιτώνης Ἀρτέμιδος καί τούς γνωρίζοντας καλῶς τούς δρόμους (τούς τρόπους) τῆς λύρας τοῦ Φοίβου.

Ἀπό δέ τόν Δία (προέρχονται καί τιμῶνται) οἱ βασιλεῖς· διότι τίποτε δέν εἶναι περισσότερον θεῖον ἀπό τούς ἄνακτας τοῦ Διός· δι᾽ αὐτό ἐξεχώρισες καί δι᾽ αὐτούς τόν ἰδικόν σου κλῆρον (τήν βασιλικήν ἐξουσίαν)·

καί τούς παρεχώρησες τό προνόμιον νά διαφυλάσσουν τάς πόλεις· καί σύ ὁ ἴδιος ἐκάθισες εἰς τά ἄκρα (τά ἀκραῖα μέρη) τῶν πόλεων (εἰς τάς ἀκροπόλεις), καί ἐποπτεύεις (ἐπιβλέπεις) ποῖοι ἀπό τούς βασιλεῖς κυβερνοῦν μέ στραβήν δικαιοσύνην (μέ ἀδικίας) καί ποῖοι κατ᾽ ἀντίθετον τρόπον (μέ ὀρθήν δικαιοσύνην).

Εἰς αὐτούς δέ ἔβαλες (ἔδωσες) ἄφθονον πλοῦτον καί πολλήν εὐτυχίαν·
εἰς ὅλους βέβαια ἔδωσες, ὄχι ὅμως εἰς ὅλους πολύ ἐξ ἴσου. Φαίνεται δέ ὅτι τοῦτο ἠμποροῦμεν νά συμπεράνωμεν ἀπό τόν ἰδικόν μας ἄρχοντα· διότι ἔχει προχωρήσει πολύ.
Κατά τήν ἑσπέραν ἐκεῖνος ἐκτελεῖ ὅσα ἤθελε σκεφθῇ κατά τό ἔαρ (κατά τό πρωί)·
κατά τήν ἑσπέραν ἐκτελεῖ τά μεγαλύτερα καί τά μικρότερα, ὅταν τά σκεφθῇ·
ἄλλοι ὅμως ἄλλα μέν (ἐκτελοῦν) εἰς ἕνα ἔτος, ἄλλα δέ οὔτε εἰς ἕνα ἔτος· ἀλλά ἐξ αὐτῶν ἀπέκοψες ἐσύ ὁ ἴδιος παντελῶς τήν δύναμιν πρός ἐκτέλεσιν ἔργων καί συνέτριψες τήν πρός ταῦτα ἐπιθυμίαν των. Χαῖρε μεγάλε, πανύψιστε υἱέ τοῦ Κρόνου, σύ πού μᾶς δίδεις τά καλά (τά ἀγαθά), σύ πού μέ τά δῶρά σου μᾶς ἀπαλλάσσεις ἀπό τίς βλάβες· ἀλλά ποῖος θά ἠμπορέσῃ νά ἐξυμνήσῃ τά ἰδικά σου ἔργα;
δέν ἐγεννήθη ἀκόμη αὐτός, οὔτε θά ὑπάρξῃ εἰς τό μέλλον· ποῖος λοιπόν θά ἠμπορέσῃ νά ἐξυμνήσῃ τά ἔργα τοῦ Διός;

Χαῖρε, πατέρα μας, καί πάλιν χαῖρε· καί δώριζέ μας ἀρετήν καί πλοῦτον.
Οὔτε ὁ πλοῦτος χωρίς τήν ἀρετήν γνωρίζει νά αὐξάνῃ (νά ὠφελῇ) τούς ἀνθρώπους,
οὔτε ἡ ἀρετή χωρίς τόν πλοῦτον. Δώριζέ μας τήν ἀρετήν μαζί καί τόν πλοῦτον.

(2) ΥΜΝΟΣ ΕΙΣ ΑΠΟΛΛΩΝΑ

στίχοι 1-17

Οἷον ὁ τ᾽ Ἀπόλλωνος ἐσείσατο δάφνινος ὄρπηξ,

στίχοι 1-17

Πόσον ὁ δάφνινος κλάδος τοῦ Ἀπόλλωνος πόσον διέσεισε (ἐτράνταξε) ὅλην τήν οἰκί-

οἷα δ᾽ ὅλον τό μέλαθρον. ἑκάς, ἑκάς ὅστις ἀλιτρός.
καί δή που τά θύρετρα καλῷ ποδί Φοῖβος ἀράσσει.
οὐχ ὁράας; ἐπένευσεν ὁ Δήλιος ἠδύ τι φοῖνιξ
ἐξαπίνης, ὁ δέ κύκνος ἐν ἠέρι καλόν ἀείδει.
αὐτοί νῦν κατοχῆες ἀνακλίνεσθε πυλάων,
αὐταί δέ κληῖδες· ὁ γάρ θεός οὐκέτι μακράν.
οἱ δέ νέοι μολπήν τε καί ἐς χορόν ἐντύνεσθε.
Ὠπόλλων οὐ παντί φαείνεται, ἀλλ᾽ ὅτις ἐσθλός.
ὅς μιν ἴδῃ, μέγας οὗτος· ὅς οὐκ ἴδε, λιτός ἐκεῖνος.
ὀψόμεθ᾽, ὦ Ἑκάεργε, καί ἐσσόμεθ᾽ οὔποτε λιτοί.
μήτε σιωπηλήν κίθαριν, μήτ᾽ ἄψοφον ἴχνος
τοῦ Φοίβου τούς παῖδας ἔχειν ἐπιδημήσαντος,
εἰ τελέειν μέλλουσι γάμον, πολιήν τε κερεῖσθαι,
ἑστήξειν δέ τό τεῖχος ἐπ᾽ ἀρχαίοισι θεμέθλοις.
ἡγασάμην τούς παῖδας, ἐπεί χέλυς οὐκέτ᾽ ἀεργός.
εὐφημεῖτ᾽ ἀΐοντες ἐπ᾽ Ἀπόλλωνος ἀοιδῇ·

στίχοι 18-45

εὐφημεῖ καί πόντος, ὅτε κλείουσιν ἀοιδοί
ἢ κίθαριν, ἢ τόξα, Λυκωρέος ἔντεα Φοίβου.
οὐδέ Θέτις Ἀχιλῆα κινύρεται αἴλινα μήτηρ,
ὁππότ᾽ ἰή παιῆον, ἰή παιῆον ἀκούσῃ.
καί μέν ὁ δακρυόεις ἀναβάλλεται ἄλγεα πέτρος,
ὅστις ἐνί Φρυγίῃ διερός λίθος ἐστήρικται,
μάρμαρον ἀντί γυναικός ὀΐζυρόν τι χανούσης.
ἰή, ἰή φθέγγεσθε· κακόν μακάρεσσιν ἐρίζειν.
ὅς μάχεται μακάρεσσιν, ἐμῷ βασιλῆϊ μάχοιτο·
ὅστις ἐμῷ βασιλῆϊ, καί Ἀπόλλωνι μάχοιτο.
τόν χορόν Ὠπόλλων, ὅτι οἱ κατά θυμόν ἀείδει,
αν (ὅλον τόν οὐρανόν)· μακράν, μακράν κάθε ἁμαρτωλός.

Καί νά πού ὁ Φοῖβος κρούει δυνατά τάς θύρας μέ ὄμορφο (δυνατό) πόδι.

Δέν βλέπεις; ξαφνικά συγκατένευσε μέ γλυκύτητα ὁ Δήλιος φοῖνιξ (ὁ φοῖνιξ τῆς Δήλου), καί ὁ κύκνος κελαϊδεῖ ὡραῖα εἰς τόν ἀέρα.

Τώρα σεῖς πού κρατεῖτε τάς πύλας (οἱ μοχλοί) ἀνοίξατέ τες καί σεῖς τά κλειδιά· διότι ὁ θεός δέν εἶναι πλέον μακράν (εἶναι πλησίον).

Καί σεῖς οἱ νέοι ἑτοιμασθῆτε γιά τό τραγούδι καί τόν χορό. Ὁ Ἀπόλλων δέν ἐμφανίζεται (δέν φανερώνεται) εἰς τόν καθένα, ἀλλ᾽ εἰς ὁποιον εἶναι καλός·
καί ὁποιος ἄν ἴδῃ αὐτόν, αὐτός εἶναι μεγάλος· ὁποιος δέν τόν εἶδε, αὐτός εἶναι μικρός (ἀνάξιος λόγου).

Θά σέ ἴδωμεν ἐσένα, πού τοξεύεις μακρυά, καί ποτέ εἰς τό μέλλον δέν θά εἴμεθα μικροί.

Μήτε τά παιδιά τώρα πού ἦλθε ὁ Φοῖβος εἰς τήν πατρίδα του, νά ἔχουν κιθάραν σιωπηλήν (δηλ. νά μή τραγουδοῦν), μήτε νά ἔχουν ἀθόρυβα πόδια (δηλ. νά μή χορεύουν),
ἐάν μέλλουν νά τελέσουν τόν γάμον των καί νά κόψουν (νά κουρεύσουν) τά μακρυά μαλλιά των
καί νά στήσουν (νά στερεώσουν) τό τεῖχος ἐπάνω εἰς ἀρχαῖα (εἰς παλαιά) θεμέλια.

Ἐθαύμασα τά παιδιά, διότι ἡ λύρα δέν εἶναι πλέον ἀργή (χωρίς ἐργασίαν).

Σιωπᾶτε ἐσεῖς, ὅταν ἀκοῦτε τό τραγούδι πρός τιμήν τοῦ Ἀπόλλωνος·

στίχοι 18-45

σωπάζει καί ἡ θάλασσα, ὅταν οἱ ἀοιδοί (οἱ τραγουδισταί) ἐγκωμιάζουν τήν κιθάραν καί τά τόξα, πού εἶναι τά ὄργανα τοῦ Λυκωρέως Φοίβου.
Οὔτε ἡ μητέρα Θέτις κλαίει θρηνητικά τόν Ἀχιλλέα, ὅταν ἀκούσῃ τήν ἐπιφώνησιν «ἰή παιῆον, ἰή παιῆον».
Καί βέβαια ὁ δακρύβρεκτος λίθος ἀρχίζει τό τραγούδι γιά τούς πόνους,
ὁ ὑγρός λίθος, πού εἶναι τοποθετημένος εἰς τήν Φρυγίαν, μιά μαρμαρίνη γυναίκα, πού ἔχει ἀνοικτό τό ἀξιολύπητο στόμα της. Φωνάζετε λοιπόν «ἰή ἰή»· Εἶναι κακόν πρᾶγμα νά φιλονικῇ κανείς πρός τούς θεούς.
Ἐκεῖνος πού μάχεται πρός τούς θεούς, θά μάχεται πρός τόν ἰδικόν μου βασιλέα·
καί ὅποιος μάχεται πρός τόν ἰδικόν μου βασιλέα, θά μάχεται καί πρός τόν Ἀπόλλωνα.

Ὁ Ἀπόλλων θά τιμήσῃ τόν χορόν, διότι

τιμήσει· δύναται γάρ, ἐπεί Διΐ
δεξιός ἧσται.
οὐδ᾽ ὁ χορός τόν Φοῖβον ἐφ᾽ ἕν μόνον
ἦμαρ ἀείσει·
ἔστι γάρ εὔυμνος· τίς ἄν οὐ
ῥέα Φοῖβον ἀείδοι;
Χρύσεα τ᾽ Ὠπόλλωνι τό τ᾽ ἔνδυτόν,
ἥ τ᾽ ἐπιπορπίς, ἥ τε λύρη, τό τ᾽ ἄεμμα τό
Λύκτιον, ἥ τε φαρέτρη·
χρύσεα καί τά πέδιλα· πολύχρυσος γάρ
Ἀπόλλων, καί τε πολυκτέανος· Πυθῶνί
κε τεκμήραιο.
καί μέν ἀεί καλός, καί ἀεί νέος· οὔποτε Φοίβου
θηλείαις, οὐδ᾽ ὅσσον, ἐπί χνόος ἦλθε
παρειαῖς.
αἱ δέ κόμαι θυόεντα πέδῳ λείβουσιν ἔλαια.
οὐ λίπος Ἀπόλλωνος ἀποστάζουσιν ἔθειραι,
ἀλλ᾽ αὐτήν πανάκειαν· ἐν ἄστει δ᾽ ᾧ κεν ἐκεῖναι
πρῶκες ἔραζε πέσωσιν, ἀκήρια πάντ᾽ ἐγένοντο
τέχνῃ δ᾽ ἀμφιλαφής οὔ τις τόον, ὅσσον Ἀπόλλων.
κεῖνος ὀϊστευτήν ἔλαχ᾽ ἀνέρα, κεῖνος ἀοιδόν·
Φοίβῳ γάρ καί τόξον ἐπιτρέπεται καί ἀοιδή.
κείνου δέ θριαί, καί μάντιες· ἐκ δέ νυ Φοίβου

στίχοι 46-73

ἰητροί δεδάασιν ἀνάβλησιν θανάτοιο.
Φοῖβον καί Νόμιον κικλήσκομεν, ἐξέτι κείνου,
ἐξότ᾽ ἐπ᾽ Ἀμφρυσῷ ζευγήτιδας ἔτρεφεν ἵππους,
ἠϊθέου ὑπ᾽ ἔρωτι κεκαυμένος Ἀδμήτοιο.
ῥεῖά κε βουβόσιον τελέθοι πλέον, οὐδέ κεν αἶγες δεύοιντο βρεφέων ἔπι
μηκάδες, ἦσιν Ἀπόλλων
βοσκοιμένης ὀφθαλμόν ἐπήγαγεν· οὐδ᾽ ἀγάλακτες ὄϊες, οὐδ᾽ ἄκυθοι, πᾶσαι δέ κεν εἶεν ὔπαρνοι·
ἡ δέ κε μουνοτόκος, διδυματόκος αἶψα γένοιτο.
Φοίβῳ δ᾽ ἑσπόμενοι πόλιας διεμετρήσαντο

τραγουδεῖ προς εὐχαρίστησίν του· ἠμπορεῖ δηλαδή νά τόν τιμήση, ἐπειδή εἶναι καθισμένος πρός τά δεξιά τοῦ Διός.

Οὔτε ὁ χορός θά ἐξυμνήσῃ τόν Φοῖβον εἰς μίαν μόνον ἡμέραν, διότι αὐτός ἐξυμνεῖται μέ πολλούς ὕμνους· ποῖος δηλαδή δέν θά ἠμπορέσῃ νά ἐξυμνήσῃ εὐκόλως τόν Φοῖβον;

Ὁ Ἀπόλλων ἔχει τά πάντα χρυσᾶ, καί τό ἐνδυμά του καί τόν μανδύαν του καί τήν λύραν καί τό τόξον τό Λύκτιον καί τήν φατέτραν· ἀκόμη καί τά πέδιλά του εἶναι χρυσᾶ· ὁ Ἀπόλλων δηλαδή ἔχει πολύν χρυσόν καί πολλά κτήματα (εἶναι πολύ πλούσιος)· ἀπό τήν Πυθῶνα ἠμπορεῖς νά συμπεράνῃς αὐτό.

Καί βέβαια εἶναι πάντοτε ὡραῖος καί αἰωνίως νέος· οὐδέποτε ἐπεκάθισε χνούδι εἰς τάς θηλυκάς παρειάς του, οὔτε ἐλάχιστον. Αἱ δέ κόμαι του ἀποστάζουν εἰς τό ἔδαφος ἀρωματώδη ἔλαια. Δέν ἀποστάζουν λίπος αἱ κόμαι τοῦ Ἀπόλλωνος, ἀλλά τήν ἰδίαν τήν πανάκειαν (τό φάρμακον πού θεραπεύει ὅλας τάς ἀσθενείας)· εἰς δέ τήν πόλιν, εἰς τό ἔδαφος τῆς ὁποίας θά πέσουν ἐκεῖναι αἱ σταγόνες, ὅλα γίνονται ἀβλαβῆ (δέν βλάπτονται, ὑφίστανται ἀνοσίαν)

Καί οὐδείς εἰς τήν τέχνην εἶναι τόσον μεγάλος ὅσον ὁ Ἀπόλλων. Ἐκεῖνος (ὁ Ἀπόλλων) εἶναι ἄνδρας τοξευτής, ἐκεῖνος εἶναι καί ἀοιδός (τραγουδιστής)· διότι εἰς τόν Φοῖβον ἐπιτρέπεται νά ἔχῃ καί τόξον καί νά τραγουδῇ.

Ἐκείνου ξεύρει τά μαντεύματα (τάς προφητείας), ἐκείνου ἐμπνέει καί τούς μάντεις· ἀπό

στίχοι 46-73

τόν Φοῖβον βέβαια καί οἱ ἰατροί διδάσκονται τήν ἀναβολήν (τήν καθυστέρησιν) τοῦ θανάτου (μέ τήν θεραπείαν τῶν νόσων).

Τόν Φοῖβον τόν ἀποκαλοῦμεν καί Νόμιον (ποιμενικόν-προστάτην τῶν ποιμένων), ἀπό τότε πού ἔτρεφε ζευγαρωμένα ἄλογα εἰς τόν Ἀμφρυσόν, ἐπειδή ἐφλέγετο ἀπό τόν ἔρωτα πρός τόν νέον Ἄδμητον. Τώρα πλέον ὑπάρχει τόπος γιά τήν βοσκήν τῶν βοδιῶν, καί αἱ γίδες, πού βελάζουν, δέν στεροῦνται ἀπό τά νεογέννητα μικρά των, ἐκεῖνες, πρός τάς ὁποίας, ἐνῶ βόσκουν, τάς ἐποπτεύει μέ τά μάτια του ὁ Ἀπόλλων· ἀλλά καί τά πρόβατα δέν εἶναι χωρίς γάλα, δηλαδή ἄγονα, ἀλλά ὅλα ἠμποροῦν νά θηλάζουν τά μικρά ἀρνιά των· ἐκεῖνο δέ τό πρόβατον, πού γεννάει ἕνα ἀρνί, ταχέως θά ἠμπορῇ νά γεννάῃ δύο.

Ἀκολουθοῦντες δέ οἱ ἄνθρωποι τόν Φοῖβον

ἄνθρωποι· Φοῖβος γάρ ἀεί πολίεσσι φιληδεῖ
κτιζομέναις, αὐτός δέ θεμέλια Φοῖβος ἔπηξε
καλῇ ἐν Ὀρτυγίῃ, περιηγέος ἐγγύθι λίμνης.
Ἄρτεμις ἀγρώσσουσα καρήατα συνεχές αἰγῶν
κυνθιάδων φορέεσκεν, ὁ δ' ἔπλεκε βωμόν Ἀπόλλων.
δείματο μέν κεράεσσιν ἐδέθλια, πῆξε δέ βωμόν
ἐκ κεράων, κεραούς δέ πέριξ ὑπεβάλλετο τοίχους.
ὣδ' ἔμαθεν τά πρῶτα θεμείλια Φοῖβος ἐγείρειν.
Φοῖβος καί βαθύγειον ἐμήν πόλιν ἔφρασε Βάττῳ·
καί Λιβύην ἐσιόντι κόραξ ἡγήσατο λαῷ
δεξιός οἰκιστήρ, καί ὤμοσε τείχεα δώσειν
ἡμετέροις βασιλεῦσιν· ἀεί δ' εὔορκος Ἀπόλλων.
Ὦπολλον, πολλοί σέ Βοηδρόμιον καλέουσι,
πολλοί δέ Κλάριον· (πάντῃ δέ τοι οὔνομα πουλύ·)
αὐτάρ ἐγώ Καρνεῖον· ἐμοί πατρώϊον οὕτω.
Σπάρτη τοι, Καρνεῖε, τό γε πρώτιστον ἔδεθλον.
δεύτερον αὖ Θήρη, τρίτατόν γε μέν ἄστυ Κυρήνης.

στίχοι 74-102

ἐκ μέν σε Σπάρτης ἕκτον γένος Οἰδιπόδαο
ἤγαγε Θηραίην ἐς ἀπόκτισιν· ἐκ δέ σε Θήρης
οὖλος Ἀριστοτέλης Ἀσβυστίδι πάρθετο γαίῃ.
δεῖμε δέ τοι μάλα καλόν ἀνάκτορον· ἐν δέ πόληϊ θῆκε τελεσφορίην ἐπετήσιον, ᾗ ἔνι πολλοί
ὑστάτιον πίπτουσιν ἐπ' ἰσχίον, ὦ ἄνα, ταῦροι.
ἰή, ἰή, Καρνεῖε πολύλλιτε, σεῖο δέ βωμοί
ἄνθεα μέν φορέουσιν ἐν εἴαρι, τόσσα περ ὧραι
ποικίλ' ἀγινεῦσι, ζεφύρου πνείοντος ἐέρσην,
χείματι δέ κρόκον ἠδύν· ἀεί δέ τοι ἀέναον πῦρ, οὐδέ ποτε χθιζόν περιβόσκεται ἄνθρακα τέφρη, ἥ ρ' ἐχάρη μέγα Φοῖβος,

(συμμορφούμενοι πρός τάς ἐντολάς τοῦ Φοίβου) ἔκτισαν μέ μέτρον τάς πόλεις· διότι ὁ Φοῖβος εὐχαριστεῖται πάντοτε, ὅταν κτίζωνται πόλεις, κι' αὐτός ὁ ἴδιος ὁ Φοῖβος φροντίζει (θέτει) τά θεμέλιά των.

Εἰς ἡλικίαν τεσσάρων ἐτῶν ὁ Φοῖβος (ἔθεσε) τά πρῶτα θεμέλια εἰς τήν ὡραίαν Ὀρτυγίαν, πλησίον τῆς κυκλικῆς λίμνης, ἐνῶ ἡ Ἄρτεμις κυνηγοῦσα τοῦ ἔφερε συνεχῶς κεφάλια γιδιῶν ἀπό τόν Κύνθον· κι' ὁ Ἀπόλλων συνέπλεκε βωμόν.

Κατεσκεύαζε πρῶτα τό ἔδαφος μέ κέρατα κι' ἔπειτα ἐθεμελίωσε τόν βωμόν ἀπό κέρατα καί γύρω ἐτοιοθέτησε τοίχους κερατίνους. Ἔτσι ἔμαθε ὁ Φοῖβος νά ἀνεγείρῃ τά πρῶτα θεμέλια. Ὁ Φοῖβος ὑπέδειξεν εἰς τόν Βάττον καί τήν ἰδικήν μου εὔφορον πόλιν· καί ἐνῶ ὁ λαός εἰσήρχετο εἰς τήν Λιβύην, ὡς κόραξ τόν ὡδήγησε, πού ἦτο ἱκανός ἱδρυτής, καί ὡρκίσθη ὅτι θά δώσῃ τείχη εἰς τούς ἰδικούς μας βασιλεῖς· πάντοτε ὁ Ἀπόλλων τηρεῖ τόν ὅρκον του.

Ἐσένα Ἀπόλλωνα πολλοί σέ ὀνομάζουν Βοηδρόμιον (βοηθόν), πολλοί δέ ἄλλοι σέ ὀνομάζουν Κλάριον· παντοῦ τό ὄνομά σου εἶναι πολύ (μεγάλο)·
ἀλλά ἐγώ σέ ὀνομάζω Καρνεῖον· εἰς ἐμέ αὐτό τό ὄνομα εἶναι πατροπαράδοτον.

Ἡ Σπάρτη βέβαια, ὦ Καρνεῖε, ὑπῆρξε τό πρῶτον-πρῶτον ἔδαφός σου, τό δεύτερον ἡ Θήρα καί τό τρίτον ἡ πόλις τῆς Κυρήνης. Καί

στίχοι 74-102

ἀπό μέν τήν Σπάρτην ἡ ἕκτη γενεά τοῦ Οἰδίποδος σέ ὡδήγησε πρός ἵδρυσιν τῆς Θήρας· ἀπό δέ τήν Θήραν ὁ ὁρμητικός Ἀριστοτέλης σέ ἔθεσε πλησίον εἰς τήν γῆν τῆς Ἀσβυστίδος. Οἰκοδόμησε δέ ἐκεῖ ἕνα πολύ ὡραῖον ἀνάκτορον· καί εἰς τήν πόλιν καθιέρωσε τελετήν, διαρκοῦσαν καθ' ὅλον τό ἔτος, κατά τήν ὁποίαν πολλοί ταῦροι, βασιληᾶ μας, πίπτουν διά τελευταίαν φοράν ἐπάνω εἰς τό ἰσχίον των (πολλοί ταῦροι θυσιάζονται).

Ἰή, ἰή, ὦ Καρνεῖε, πού σέ ἱκετεύουν πολλοί, οἱ βωμοί σου φέρουν κατά τήν ἄνοιξιν ἄνθη, καί τόσα πολυποίκιλα ὅσα βέβαια φέρουν αἱ διάφοροι ἐποχαί, ὅταν πνέῃ ὁ ζέφυρος (τό δροσερό ἀεράκι), κατά δέ τόν χειμῶνα τόν γλυκύν κρόκον· πάντοτε δέ τό αἰώνιον πῦρ (ὑπάρχει ἀναμμένον),
καί ποτέ ἡ τέφρα δέν βόσκει οὔτε ἐπ' ὀλίγον γύρω ἀπό τά κάρβουνα. Ἀληθινά πολύ ἐχάρη-

ὅτε ζωστῆρες Ἐνυοῦς ἀνέρες
ὠρχήσαντο μετά ξανθῇσι Λιβύσσῃς,
τέθμιαι εὖτέ σφιν Καρνειάδες ἤλυθον
ὧραι.
οἱ δ᾽ οὔπω πηγῆς Κυρῆς ἐδύναντο
πελάσσαι
Δωριέες, πυκινήν δέ νάπαις Ἄζιλιν
ἔναιον.
τούς μέν ἄναξ ἴδεν αὐτοῦ, ἑῇ δ᾽
ἐπεδείξατο νύμφῃ, στάς ἐπί Μυρτούσης
κερατώδεος· ἦχι λέοντα
ὑψηῖς κατέπεφνε, βοῶν σίνιν
Εὐρυπύλοιο.
οὐ κείνου χορόν εἶδε θεώτερον ἄλλον
Ἀπόλλων,
οὐδέ πόλει τόσ᾽ ἔνειμεν ὀφέλσιμα,
τόσσα Κυρήνῃ,
μνωόμενος προτέρης ἁρπακτύος· οὐδέν
μέν αὐτοί Βαττιάδαι Φοίβοιο πλέον θεόν
ἄλλον ἔτισαν.
Ἰή, ἰή παιῆον ἀκούομεν· οὕνεκα τοῦτο
Δελφός τοι πρώτιστον ἐφύμνιον εὕρετο
λαός,
ἧμος ἐκηβολίην χρυσέων ἐπεδείκνυσο
τόξων.
Πυθώ τοι κατιόντι συνήντετο δαιμόνιος
θήρ,
αἰνός ὄφις· τόν μέν σύ κατήναρες, ἄλλον
ἐπ᾽ ἄλλῳ βάλλων ὠκύν ὀϊστόν· ἐπηύτησε
δέ λαός,

στίχοι 103-113

ἰή, ἰή παιῆον, ἵει βέλος· εὐθύ σε μήτηρ
γείνατ᾽ ἀοσσητῆρα· τό δ᾽ ἐξέτι κεῖθεν
ἀείδῃ.
Ὁ φθόνος Ἀπόλλωνος ἐς οὔατα
λάθριος εἶπεν·
οὐκ ἄγαμαι τόν ἀοιδόν, ὃς οὐχ, ὅσα
πόντος, ἀείδει. τόν φθόνον Ὠπόλλων
ποδί τ᾽ ἤλασεν, ὧδέ τ᾽ ἔειπεν· Ἀσσυρίου
ποταμοῖο μέγας ῥόος, ἀλλά τά πολλά
λύματα γῆς καί πολλόν ἐφ᾽ ὕδατι
συρφετόν ἕλκει.
Δηοῖ δ᾽ οὐκ ἀπό παντός ὕδωρ φορέουσι
μέλισσαι,
ἀλλ᾽ ἥτις καθαρή τε καί ἀχράαντος
ἀνέρπει
πίδακος ἐξ ἱερῆς ὀλίγη λιβάς, ἄκρον
ἄωτον.
χαῖρε ἄναξ· ὁ δέ Μῶμος, ἵν᾽ ὁ φθόρος,
ἔνθα νέοιτο.

κε ὁ Φοῖβος, ὅταν ἄνδρες περιβάλλοντες τήν
Ἐνυώ ἐχόρευσαν μέ ξανθές Λίβυσσες,
ὅταν ἦλθαν αἱ καθωρισμέναι εἰς αὐτάς Καρνειάδες ἐποχαί.
Οἱ δέ Δωριεῖς δέν ἠμποροῦσαν ἀκόμη νά πλησιάσουν τήν πηγήν Κυράν, ἀλλά κατοικοῦσαν εἰς τήν Ἄζιλιν τήν γεμάτην ἀπό φαράγγια.
Αὐτούς τούς εἶδεν εἰς αὐτό τό μέρος ὁ ἄναξ, καί, ἀφοῦ ἐστάθη ἐπάνω εἰς τήν Μυρτοῦσαν μέ τίς πολλές ἀκρώρειες, τούς ἐπέδειξεν εἰς τήν ἰδικήν του νύμφην· ὅπου ἡ ὑψηλή νύμφη ἐφόνευσε τόν λέοντα, πού κατέτρωγε τά βόδια τοῦ Εὐρυπύλου.
Ὁ Ἀπόλλων δέν εἶχε ἰδῆ ἄλλον χορόν θεϊκώτερον ἀπό ἐκεῖνον, οὔτε ἔδωσεν εἰς ἄλλην πόλιν τόσα ὠφέλιμα πράγματα, ὅσα ἔδωσεν εἰς τήν Κυρήνην,
ἐπειδή ἐνεθυμεῖτο τήν προηγουμένην ἁρπαγήν· οὔτε ὅμως αὐτοί οἱ Βαττιάδαι ἐτίμησαν ἄλλον θεόν περισσότερον ἀπό τόν Φοῖβον.
Ἀκούομεν τήν ἐπιφώνησιν «ἰή, ἰή παιῆον»· διά τοῦτο ὁ λαός τῶν Δελφῶν αὐτό τό ἐφύμνιον ηὗρε πρῶτα-πρῶτα, ὅταν ἐσύ ἐπεδείκνυες τήν μακροβολίαν τῶν χρυσῶν σου τόξων. Ἐνῶ δέ κατέβαινες εἰς τήν Πυθώ, σέ συνήντησε ἕνα πελώριο θηρίο, ἕνα φοβερό φίδι. Αὐτό τό φίδι τό ἐφόνευσες ἐσύ, ἐξακοντίζων ἐναντίον του ἀλλεπάλληλα (ἐπανωτά) γρήγορα βέλη· καί ὁ λαός σέ ἐπευφήμησε φωνάζων «ἰή, ἰή παιῆον,

στίχοι 103-113

ῥίψε τό βέλος»· ἀμέσως δέ ἡ μητέρα σου σέ κατέστησε βοηθόν· τοῦτο δέ τραγουδάει ἀπό τότε. Ὁ φθόνος εἶπε κρυφά εἰς τά αὐτιά τοῦ Ἀπόλλωνος· δέν θαυμάζω τόν ἀοιδόν, πού δέν τραγουδάει ὅπως ὅσα καί ἡ θάλασσα. Ὁ Ἀπόλλων ἔδιωξε μέ τό πόδι του (κλωτσηδόν) τόν φθόνον καί εἶπε τά ἑξῆς·
Εἶναι μεγάλα τά ρεύματα τοῦ Ἀσσυρίου ποταμοῦ, ἀλλά παρασύρει ἐπάνω εἰς τά νερά του πολλές ἀκαθαρσίες τῆς γῆς καί μεγάλον σωρόν ἀπό φρύγανα.
Εἰς τήν Δηώ ὅμως αἱ μέλισσαι δέν φέρουν νερό ἀπό κάθε πηγή, ἀλλά λίγες σταγόνες, πού ἀνέρχονται καθαρές καί ἀμόλυντες ἀπό ἱεράν πηγήν, κι᾽ αὐτό εἶναι τό κάλλιστον. Χαῖρε, ἄνακτα· ὁ δέ Μῶμος (ὁ φθόνος) ἄς ὑπάγῃ ἐκεῖ ὅπου εἶναι ὁ ὄλεθρος.

(3) ΥΜΝΟΣ ΕΙΣ ΑΡΤΕΜΙΝ

στίχοι 1-7

Ἄρτεμιν (οὐ γάρ ἐλαφρόν ἀειδόντεσσι λαθέσθαι) ὑμνέομεν, τῇ τόξα λαγωβολίαι τε μέλονται,
καί χορός ἀμφιλαφής, καί ἐν οὔρεσιν ἐψιάασθαι.
ἀρχόμεν· ὡς ὅτε πατρός ἐφεζομένη γονάτεσσι,
παῖς ἔτι κουρίζουσα, τάδε προσέειπε γονῆα·

Δός μοι παρθενίην αἰώνιον, ἄππα, φυλάσσειν,
καί πολυωνυμίην· ἵνα μή μοι Φοῖβος ἐρίζῃ.

στίχοι 8-36

δός δ' ἰούς καί τόξα· ἔα, πάτερ, οὔ σε φαρέτρην,
οὐδ' αἰτέω μέγα τόξον· ἐμοί Κύκλωπες ὀΐστούς
αὐτίκα τεχνήσονται, ἐμοί δ' εὐκαμπές ἄεμμα·
ἀλλά φαεσφορίην τε, καί ἐς γόνυ μέχρι χιτῶνα
ζώννυσθαι λεγνωτόν, ἵν' ἄγρια θηρία καίνω.
δός δέ μοι ἑξήκοντα χορίτιδας Ὠκεανίνας,
πάσας εἰνέτεας, πάσας ἔτι παῖδας ἀμίτρους.
δός δέ μοι ἀμφιπόλους Ἀμνισίδας εἴκοσι νύμφας, αἵτε μοι ἐνδρομίδας τε, καί, ὁππότε μηκέτι λύγκας μήτ' ἐλάφους βάλλοιμι, θοούς κύνας εὖ κομέοιεν. δός δέ μοι οὔρεα πάντα. πόλιν δέ μοι ἤντινα νεῖμον, ἤντινα λῆς· σπανόν γάρ, ὅτ' Ἄρτεμις ἄστυ κάτεισιν,
οὔρεσιν οἰκήσω· πόλεσιν δ' ἐπιμίξομαι ἀνδρῶν
μοῦνον ὅτ' ὀξείῃσιν ὑπ' ὠδίνεσσι γυναῖκες
τειρόμεναι καλέουσι βοηθόον· ἦσί με μοῖραι
γεινομένην τό πρῶτον ἐπεκλήρωσαν ἀρήγειν·
ὅττι με καί τίκτουσα καί οὐκ ἤλγησε φέρουσα
μήτηρ, ἀλλ' ἀμογητί φίλων ἀπεθήκατο κόλπων.

στίχοι 1-7

Ἐξυμνοῦμεν τήν Ἄρτεμιν – διότι δέν εἶναι ὑποφερτόν, ἐνῶ τραγουδοῦμεν, νά τήν λησμονήσωμεν –,
τήν Ἄρτεμιν, πού ἐνδιαφέρεται γιά τά τόξα καί τό κυνήγι τῶν λαγῶν,
καί γιά τόν ἐξαίσιο χορό πού διασκεδάζει παίζουσα εἰς τά βουνά.

Ἀρχίζομεν ἀπό τότε πού, καθισμένη εἰς τά γόνατα τοῦ πατρός της, ἐνῶ ἦτο ἀκόμη νεαρά κόρη, εἶπε εἰς τόν πατέρα της αὐτά τά λόγια·
Δόσε μου, ἄππα (πατερούλη μου), τήν δύναμιν νά διαφυλάσσω αἰωνίως τήν παρθενίαν μου
καί τά πολλά ὀνόματά μου, διά νά μή φιλονικῇ ὁ Φοῖβος μαζί μου.

στίχοι 8-36

Δόσε μου βέλη καί τόξα· ὅμως, πατέρα μου, δέν σοῦ ζητῶ φαρέτραν οὔτε μεγάλο τόξον· διότι οἱ Κύκλωπες θά κατασκευάσουν ἀμέσως γιά μένα βέλη καί εὔκαμπτον τόξον·
ἀλλά ἐσύ δόσε μου φωτισμόν καί ἐπίτρεψέ μου νά φέρω χιτῶνα χρωματισμένον στά ἄκρα, πού νά ζώνωμαι ἕως τά γόνατα, διά νά φονεύω τά ἄγρια ζῷα.

Δόσε μου ἀκόμη ἑξήντα χορεύτριες κόρες τοῦ Ὠκεανοῦ,
ὅλες ἐννέα ἐτῶν, πού νά εἶναι ὅλες ἀκόμη μικρά κορίτσια.

Δόσε μου ὡς ὑπηρετρίας εἴκοσι Ἀμνισίδας νύμφας,
αἱ ὁποῖαι θά μοῦ περιποιοῦνται καλῶς τά ὑποδήματα καί τά γρηγοροπόδαρα σκυλιά, ὅταν θά ἀναπαύωμαι καί δέν θά κτυπῶ (δέν θά κυνηγῶ) οὔτε λύγκας οὔτε ἐλάφια.

Δόσε μου καί ὅλα τά βουνά, δόσε μου καί κάποιαν πόλιν,
ὁποιαν ἐσύ θέλεις· διότι εἰς τά βουνά θά κάθωμαι ὀλίγον,
Εἰς δέ τάς πόλεις θά ἔλθω εἰς ἐπαφήν μέ ἐκεῖνον μόνον τόν ἄνδρα, τόν ὁποῖον προσκαλοῦν αἱ γυναῖκες ὡς βοηθόν (διά νά τίς βοηθήσῃ), ὅταν κατατρύχωνται (βασανίζωνται) ἀπό ὀξείας ὠδῖνας (ἀπό σουβλερούς κοιλοπονους)· αὐτές τίς γυναῖκες μέ ὥρισαν πρῶτα αἱ μοῖραι νά βοηθῶ, ὅταν ἐγεννήθην·
διότι ἡ μητέρα μου καί ὅταν μέ γεννοῦσε καί ὅταν μέ ἔφερε, δέν ἐπόνεσε,
ἀλλά χωρίς κόπο καί πόνο μέ ἀπέθεσε ἀπό τούς ἀγαπητούς κόλπους της.

Ὣς ἡ παῖς εἰποῦσα, γενειάδος ἤθελε πατρός
ἅψασθαι, πολλὰς δέ μάτην ἐτανύσσατο χεῖρας,
μέχρις ἵνα ψαύσειε. πατὴρ δ᾽ ἐπένευσε γελάσσας·
φῆ δέ καταρρέζων. Ὅτε μοι τοιαῦτα θέαιναι
τίκτοιεν, τυτθόν κεν ἐγὼ ζηλήμονος Ἥρης
χωομένης ἀλέγοιμι. φέρευ, τέκος, ὅσσ᾽ ἐθελημός
αἰτίζεις, καί τ᾽ ἄλλα πατὴρ ἔτι μείζονα δώσει.

τρίς δέκα τοι πτολίεθρα καὶ οὐχ ἕνα πύργον ὀπάσσω· τρὶς δέκα τοι πτολίεθρα τά μή θεόν ἄλλον ἀέξειν εἴσεται, ἀλλά μόνον σέ, καί Ἀρτέμιδος καλέεσθαι· πολλὰς δέ ξυνῇ πόλιας διαμετρήσασθαι

στίχοι 37-65

μεσσόγεως, νήσους τε· καί ἐν πάσῃσιν ἔσονται
Ἀρτέμιδος βωμοί τε καί ἄλσεα· καί μέν ἀγυιαῖς
ἔσσῃ καί λιμένεσσιν ἐπίσκοπος. Ὣς ὁ μέν εἰπών μῦθον ἐπεκρήηνε καρήατι. βαῖνε δέ κούρη
λευκόν ἔπι, Κρηταῖον ὄρος, κεκομημένον ὕλῃ·
ἔνθεν ἐπ᾽ Ὠκεανόν· πολέας δ᾽ ἐπελέξατο νύμφας, πάσας εἰνέτεας, πάσας ἔτι παῖδας ἀμίτρους.
χαῖρε δέ Καίρατος ποταμός μέγα, χαῖρε δέ Τηθύς οὕνεκα θυγατέρας Λητωῖδι πέμπεν ἀμορβούς.

Αὖθι δέ Κύκλωπας μετεκίαθε. τούς μέν ἔτετμε
νήσῳ ἐνί Λιπάρῃ (Λιπάρη νέον, ἀλλά τότ᾽ ἔσκεν
οὔνομά οἱ Μελιγουνίς) ἐπ᾽ ἄκμοσιν Ἡφαίστοιο
ἑσταότας περί μύδρον· ἐπείγετο γάρ μέγα ἔργον.
ἵππειην τετύκοντο Ποσειδάωνι ποτίστρην.
αἱ νύμφαι δ᾽ ἔδδεισαν, ὅπως ἴδον αἰνά πέλωρα,
πρηόσιν Ὀσσείοισιν ἐοικότα, (πᾶσι δ᾽ ὑπ᾽ ὀφρύ
φάεα μουνόγληνα, σάκει ἴσα τετραβοείῳ,
δεινόν ὑπογλαύσσοντα,) καί ὁπότε

Ἀφοῦ εἶπεν αὐτά ἡ κόρη, ἐπεθύμησε νά χαϊδέψῃ τήν γενειάδα τοῦ πατρός της,
καί πολλές φορές ματαίως ἐτέντωσε τά χέρια της,
ἕως ὅτου ἐγγίσει τήν γενειάδα. Καί ὁ πατέρας της ἐγέλασε καί συγκατένευσε·
καί θωπεύων τήν Ἄρτεμιν ὁ πατέρας της εἶπε:
ὅταν αἱ θεαί μοῦ γεννοῦν τέτοια παιδιά, ὀλίγον ἐγώ ἐνδιαφέρομαι διά τήν ζηλότυπον Ἥραν, ἐάν εἶναι θυμωμένη. Πάρε, παιδί μου, ὅσα ἀπό ἰδικήν σου θέλησιν μοῦ ζητεῖς, καί ἄλλα, ἀκόμη μεγαλύτερα, θά σοῦ δώσῃ ὁ πατέρας σου.

Θά σοῦ δώσω τριάκοντα πόλεις καί ὄχι ἕνα μόνον πύργον·
θά σοῦ δώσω δέ τριάκοντα πόλεις, αἱ ὁποῖαι θά μάθουν νά τιμοῦν ὄχι ἄλλον θεόν, ἀλλά μόνον ἐσένα, καί θά ἀποκαλοῦνται μέ τό ὄνομα τῆς Ἀρτέμιδος·
καί θά σοῦ ἐπιτρέψω νά συμπεριλάβῃς εἰς αὐτόν τόν ἀριθμόν πολλάς ἀπό κοινοῦ (μαζί) πό-

στίχοι 37-65

λεις μεσογειακάς καί νήσους· καί εἰς ὅλας αὐτάς θά ὑπάρχουν βωμοί καί ἄλση τῆς Ἀρτέμιδος (πρός τιμήν τῆς Ἀρτέμιδος)· καί θά ἔχῃς τήν ἐποπτείαν τῶν ὁδῶν καί τῶν λιμένων.
Ἀφοῦ ἐκεῖνος εἶπεν αὐτά, ἐπεκύρωσε τόν λόγον του μέ κίνησιν τῆς κεφαλῆς του. Ἡ δέ κόρη του ἐβάδιζε πρός τό λευκόν Κρηταῖον (Κρητικόν) ὄρος, πού ἦτο δασοσκεπασμένο· καί ἀπό ἐδῶ πρός τόν Ὠκεανόν· καί ἐξέλεξε πολλές νύμφες, ὅλες ἐννέα ἐτῶν, πού ἦσαν ὅλες ἀκόμη κορασίδες (κοριτσάκια).

Ἠσθάνετο δέ μεγάλην χαράν ὁ ποταμός Καίρατος (ὁ ποταμός τῆς Κνωσσοῦ) κι ἔχαιρε ἡ Τηθύς,
διότι ἔστελνε εἰς τήν κόρην τῆς Λητοῦς τάς θυγατέρας της ὡς βοηθούς (ὡς ὑπηρετρίας). Καί ἔπειτα ἐπῆγε πρός ἐπίσκεψιν τῶν Κυκλώπων. Αὐτούς τούς ηὗρε εἰς τήν νῆσον Λιπάραν – Λιπάρα ἦτο τό νέον ὄνομά της, ἀλλά τότε τό ὄνομά της ἦτο Μελιγουνίς – νά στέκωνται ἐπάνω εἰς τούς ἄκμονας (εἰς τά ἀμόνια) τοῦ Ἡφαίστου γύρω ἀπό ἕνα πυρακτωμένον (ἀναμμένο) σίδηρο·
διότι τούς ἐπίεζε τό ἔργον πού εἶχαν ἀναλάβει·
ποτιστήρι κατεσκεύαζαν γιά τά ἄλογα τοῦ Ποσειδῶνος, αἱ νύμφαι ὅμως ἐφοβήθησαν, καθώς εἶδαν τά φοβερά αὐτά θηρία, τούς Κύκλωπας, πού ἦσαν ὅμοια μέ τάς κορυφάς τῆς Ὄσσης· κάτω ἀπό τό φρύδι των εἶχαν ὅλοι ἕνα μόνον μάτι, ἴσον μέ ἀσπίδα κατεσκευασμένη ἀπό τέσσαρα δέρματα βοδιῶν, καί εἶχαν φοβερό λοξό βλέμμα·

δοῦπον ἄκουσαν ἄκμονος ἠχήσαντος, ἐπί μέγα πουλύ τ᾽ ἄημα
φυσάων, αὐτῶν τε βαρύν στόνον. αὖε γάρ Αἴτνη,
αὖε δέ Τρινακρίη, Σικανῶν ἔδος, αὖε δέ γείτων
Ἰταλίη, μεγάλην δέ βοήν ἐπί Κύρνος ἄϋτει,
εὖθ᾽ οἵ γε ραιστῆρας ἀειράμενοι ὑπέρ ὤμων,
ἤ χαλκόν ζείοντα καμινόθεν, ἠέ σίδηρον,
ἀμβολαδίς τετύποντες, ἐπί μέγα μοχθήσειαν.
τῷ σφέας οὐκ ἐτάλασσαν ἀκηδέες Ὠκεανῖναι
οὔτ᾽ ἄντην ἰδέειν, οὔτε κτύπον οὔασι δέχθαι.
οὐ νέμεσις· κείνους δέ καί αἱ μάλα μηκέτι τυτθαί
οὐδέποτ᾽ ἀφρικτί μακάρων ὀρόωσι θύγατρες.

(ἐφοβήθησαν αἱ νύμφαι), καί ὅταν ἄκουσαν τόν κρότον τοῦ ἄκμονος (τοῦ ἀμονιοῦ), πού ἠχοῦσε, καί τό ἰσχυρό φύσημα τῶν φυσερῶν εἰς μεγάλην ἔκτασιν καί τόν βαρύν στεναγμόν αὐτῶν τῶν ἰδίων (τῶν Κυκλώπων). Ἐβόα δηλαδή (ἐβούϊζε) ἀπό τόν ἰσχυρόν κρότον (τοῦ ἄκμονος καί τῶν φυσερῶν) ἡ Αἴτνα,
ἐβόα καί ἡ Τρινακρία, ἡ κατοικία τῶν Σικανῶν,
ἐβόα καί ἡ γειτονική Ἰταλία, καί ἡ Κύρνος ἐξέπεμπε μεγάλην βοήν,
ὅταν αὐτοί (οἱ Κύκλωπες) μέ μεγάλον κόπον ἐσήκωναν ἐπάνω ἀπό τούς ὤμους των τά σφυριά,
ἤ ὅταν ἔβγαζαν ἀπό τό καμίνι χαλκόν, πού ἔβραζε, ἤ σίδηρον καί τόν ἐκτυποῦσαν μέ δύναμιν.

Γι᾽ αὐτό αἱ ἀμέριμνες κόραι τοῦ Ὠκεανοῦ δέν εἶχαν τήν ὑπομονήν (τήν τόλμην)
οὔτε νά ἀντικρύσουν αὐτούς (τούς Κύκλωπας) κατά πρόσωπον, οὔτε νά ἀκούσουν τόν φοβερόν κρότον (ἀπό τούς ἄκμονας καί τά φυσερά των).

Οὐδείς φθόνος (χαλάλι των)· ἀλλά ἐκείνους (τούς Κύκλωπας) ποτέ δέν ἠμποροῦσαν νά ἴδουν χωρίς φρίκην αἱ θυγατέρες τῶν θεῶν, ἀκόμη καί ἐκεῖνες πού δέν ἦσαν πλέον πολύ μικρές.

στίχοι 66-93

ἀλλ᾽ ὅτε κουράων τις ἀπειθέα μητέρι τεύχει,
μήτηρ μέν Κύκλωπας ἐῇ ἐπί παιδί καλιστρεῖ,
Ἄργην ἤ Στερόπην· ὁ δέ δώματος ἐκ μυχάτοιο
ἔρχεται Ἑρμείης, σποδιῇ κεχρημένος αἰθῇ.
αὐτίκα τήν κούρην μορμύσσεται· ἡ δέ τεκούσης
δύνει ἔσω κόλπους, θεμένη ἐπί φάεσι χεῖρας.
κούρα, σύ δέ προτέρω περ, ἔτι τριέτηρος ἐοῦσα.
εὖτ᾽ ἔμολεν Λητώ, σέ μετ᾽ ἀγκαλίδεσσι φέρουσα,
Ἡφαίστου καλέοντος, ὅπως ὀπτήρια δοίη,
βρόντεώ σε στιβαροῖσιν ἐφεσσαμένου γονάτεσσι,
στήθεος ἐκ μεγάλου λασίης ἐδράξαο χαίτης,
ὤλοψας δέ βίηφι· τό δ᾽ ἄτριχον εἰσέτι καί νῦν

στίχοι 66-93

Ἀλλ᾽ ὅταν κάποια ἀπό τίς κόρες δεικνύει ἀπείθειαν πρός τήν μητέρα,
τότε ἡ μητέρα καλεῖ μέν τούς Κύκλωπας, τόν Ἄργην ἤ τόν Στερόπην, πρός ἐκφοβισμόν τῆς κόρης της· ἔρχεται ὅμως ἀπό τό βάθος τῆς κατοικίας ὁ Ἑρμῆς, ἔχων καίουσαν τέφραν (χόβολη), καί ἀμέσως ἐκφοβίζει τήν κόρην· κι᾽ αὐτή βυθίζεται (ἀπό τόν φόβον της)
μέσα εἰς τούς κόλπους τῆς μητέρας της, ἀφοῦ μέ τά χέρια τῆς ἔκλεισε τά μάτια της.

Ὦ κόρη, σύ ὅμως προτύτερα, ἐνῶ ἀκόμη ἦσο τριῶν ἐτῶν,
ὅταν ἦλθεν ἡ Λητώ, κρατοῦσα ἐσέ εἰς τίς ἀγκάλες της, διά νά δώσῃ κατά πρόσκλησιν τοῦ Ἡφαίστου δῶρα ἀνακαλυπτήρια,
ἐνῶ ὁ Βρόντης σέ ἐσκέπασε μέ τά ἰσχυρά γόνατά του,
σύ τοῦ ἄδραξες τίς πυκνές τρίχες ἀπό τό μεγάλο στῆθός του καί τίς ἀφήρεσες μέ δύναμιν· καί τό μέρος τοῦτο εἰς τήν μέσην τοῦ στήθους του παραμένει ἀκόμη καί ἕως τώρα ἄτριχον (χωρίς τρίχες), καθώς ὅταν ἀλωπεκία (ἡ γνωστή ἀρρώστεια) ἐγκατασταθεῖσα εἰς τό κεφάλι κάποιου ἀνδρός κατατρώγῃ τά μαλλιά του.

μεσσάτιον στέρνοιο μένει μέρος, ὡς ὅτε κόρση
φωτός ἐνιδρυνθεῖσα κόμην ἐπενείματ' ἀλώπηξ.
τῷ μάλα θαρσαλέη σφε τάδε προσελέξαο τῆμος·
Κύκλωπες, καί μοί τι Κυδώνιον, εἰ δ' ἄγε τόξον,
ἠδ' ἰούς, κοίλην τε κατακληῖδα βελέμνων
τεύξατε· καί γάρ ἐγώ Λητωϊάς, ὥσπερ Ἀπόλλων.
αἰ δέ κ' ἐγώ τόξοις μόνιον δάκος ἤ τι πέλωρον
θηρίον ἀγρεύσω, τόδε κεν Κύκλωπες ἔδοιεν.
ἔννεπες· οἱ δ' ἐτέλεσσαν· ἄφαρ δ' ὡπλίσσαο, δαῖμον.
Αἶψα δ' ἐπί σκύλακας πάλιν ἤϊες· ἵκεο δ' αὖλιν
Ἀρκαδικήν ἔπι Πανός. ὁ δέ κρέα λυγκός ἔταμνε
μαιναλίης, ἵνα οἱ τοκάδες κύνες εἶδαρ ἔδοιεν.
τίν δ' ὁ γενειήτης δύο μέν κύνας ἥμισυ πηγούς,
τρεῖς δέ παρουατίους, ἕνα δ' αἰόλον,
(οἵ ρα λέοντας αὐτούς αὖ ἐρύοντες,
ὅτε δράξαιντο δεράων,
εἵλκον ἔτι ζώοντας ἐπ' αὐλίον,) ἑπτά δ' ἔδωκε

· στίχοι 94-121

θάσσονας αὐράων κυνοσουρίδας, αἵ ρα διῶξαι
ὦκισται νεβρούς τε καί οὐ μυοντα λαγωόν,
καί κοίτην ἐλάφοιο, καί ὕστριχος ἔνθα καλιαί
σημῆναι, καί ζορκός ἐπ' ἴχνιον ἠγήσασθαι.
ἔνθεν ἀπερχομένη (μετά καί κύνες ἐσσεύοντο)
εὗρες ἐπί προμολῆς ὄρεος τοῦ Παρρασίοιο
σκαιρούσας ἐλάφους, μέγα τι χρέος· αἱ μέν ἐπ' ὄχθης αἰέν ἐβουκολέοντο
μελαμψηφῖδος Ἀναύρου,
μάσσονες ἤ ταῦροι· κεράων δ' ἀπελάμπετο χρυσός.
ἐξαπίνης δ' ἔταφές τε καί ὄν ποτί θυμόν ἔειπες·
τοῦτό κεν Ἀρτέμιδος πρωτάγριον ἄξιον εἴη.

Διά τοῦτο μέ πολύ θάρρος εἶπες τότε τά ἐξῆς εἰς αὐτόν:
Κύκλωπες, ἐμπρός κατασκευάσατε καί δι' ἐμέ ἕνα Κυδώνιον τόξον
καί βέλη καί μία κοίλη φαρέτρα διά τά βέλη· διότι καί ἐγώ εἶμαι κόρη τῆς Λητοῦς, καθώς ὁ Ἀπόλλων εἶναι υἱός της· ἐάν δέ ἐγώ μέ τά τόξα συλλάβω κανένα ἀπομεμονωμένον βλαβερόν ζῷον ἤ κάποιον πελώριον θηρίον, τοῦτο θά τό φάγουν οἱ Κύκλωπες.

Αὐτά εἶπες ἐσύ· κι' ἐκεῖνοι ἐξετέλεσαν τήν παραγγελίαν σου· κι' ἀμέσως, θεά μου, ἑτοιμάσθηκες.

Ταχέως δέ ἐπροχώρησες πάλιν πρός τά μικρά σκυλιά· κι' ἔφθασες εἰς τήν Ἀρκαδίαν, εἰς τήν κατασκήνωσιν τοῦ Πανός. Αὐτός δέ ἐτεμάχιζε κρέατα λυγκός ἀπό τό Μαίναλον, διά νά τρέφωνται μ' αὐτά αἱ ἔγκυες σκύλες.

Εἰς ἐσένα ὁ γενειοφόρος ἔδωσε δύο σκύλους, κατά τό ἥμισυ λευκούς, τρεῖς μέ κρεμασμένα τά αὐτιά καί ἕνα πολυποίκιλον· αὐτοί οἱ σκύλοι, ὅταν ἀδράξουν ἀπό τό δέρμα ἀκόμα καί λέοντας, τούς σύρουν καί τούς φέρουν, ἐνῶ εἶναι ἀκόμη ζωντανοί, εἰς τήν ἀγροτικήν κατοικίαν σου· σοῦ ἔδωσε ἀκόμη

στίχοι 94-121

ἑπτά κυνηγετικούς σκύλους, ταχυτέρους ἀπό τάς αὔρας, οἱ ὁποῖοι εἶχον τήν ἱκανότητα νά καταδιώξουν μέ μεγίστην ταχύτητα μικρά ἐλάφια καί λαγόν πού δέν κλείνει τά μάτια του, καί νά ἐπισημάνουν (νά ἀνακαλύψουν) τήν φωλιά ἐλαφιοῦ καί τόν τόπον, ὅπου εὑρίσκοντο καλύβες σκαντζόχοιρου, καί νά ὁδηγήσουν εἰς τά ἴχνη ζαρκαδιοῦ.

Ἀναχωροῦσα ἀπό ἐδῶ – ἀπό πίσω σου ἀκολουθοῦσαν καί τά σκυλιά – ηὗρες εἰς τούς πρόποδας τοῦ Παρρασίου ὄρους ἐλάφια, πού ἐχόρευαν· μεγάλο γεγονός· αὐτά ἔβοσκαν πάντοτε
εἰς τάς ὄχθας τοῦ Ἀναύρου μέ τά μαῦρα πετράδια
καί ἦσαν μεγαλύτερα ἀπό ταύρους· καί ἀπό τά κέρατά τους ἄστραφτε χρυσός.

Ξαφνικά κατελήφθης ἀπό ἔκπληξιν καί εἶπες πρός τήν καρδιά σου (ἀπό μέσα σου):

Αὐτό τό πρῶτο κυνήγι θά εἶναι ἄξιον τῆς Ἀρτέμιδος.

πέντ᾽ ἔσαν αἱ πᾶσαι· πίσυρας δ᾽ ἔλες ὦκα θέουσα,
νόσφι κυνοδρομίης, ἵνα τοι θοόν ἅρμα φέρωσι.
τήν δέ μίαν, Κελάδοντος ὑπέρ ποταμοῖο φυγοῦσαν, Ἥρης ἐννεσίῃσιν, ἀέθλιον Ἡρακλῆϊ
ὕστατον ὄφρα γένοιτο, πάγος Κερύνειος ἔδεκτο.
Ἄρτεμι παρθενίη, Τιτυοκτόνε, χρύσεα μέν τοι ἔντεα καί ζώνη, χρύσεον δ᾽ ἐζεύξαο δίφρον,
ἐν δ᾽ ἐβάλευ χρύσεια, θεά, κεμάδεσσι χαλινά.
ποῦ δέ σε τό πρῶτον κερόεις ὄχος ἤρξατ᾽ ἀείρειν;
Αἵμῳ ἔπι Θρῄκι· τόθεν βορέαο κατάϊξ ἔρχεται ἀχλαίνοισι δυσαέα κρυμόν ἄγουσα.
ποῦ δ᾽ ἔταμες πεύκην; ἀπό δέ φλογός ἥψαο ποίης;
μυσῷ ἐν Οὐλύμπῳ· φάεος δ᾽ ἑνέηκας ἀϋτμήν
ἀσβέστου, τό ρα πατρός ἀποστάζουσι κεραυνοί.
ποσσάκι δ᾽ ἀργυρέοιο, θεή, πειρήσαο τόξου;
πρῶτον ἐπί πτελέην, τό δέ δεύτερον ἦκας ἐπί δρῦν,
τό τρίτον αὖτ᾽ ἐπί θῆρα· τό τέταρτον οὐκέτ᾽ ἐπί δρῦν,

Τά ἐλάφια ἦσαν ὅλα πέντε· τά τέσσαρα ἀπ᾽ αὐτά τά συνέλαβες μόνη σου τρέχουσα γρήγορα, χωρίς τήν βοήθειαν τῶν κυνηγετικῶν σκυλιῶν, διά νά σοῦ ὁδηγοῦν τό γρήγορον ἅρμα σου.
Ἀλλά τό ἕνα ἐλάφι, πού ἔφυγε ἐπάνω ἀπό τόν Κελάδοντα ποταμόν, τό ἐδέχθη (τό ὑπεδέχθη) ὁ Κερύνειος βράχος, διά νά γίνῃ κατά συμβουλήν τῆς Ἥρας ὁ τελευταῖος ἆθλος τοῦ Ἡρακλέους.
Ἄρτεμι παρθένε, φόνισσα τοῦ Τιτυοῦ, χρυσᾶ εἶναι τά ὅπλα σου καί ἡ ζώνη σου, καί χρυσό ἐζεύξες ἅρμα,
καί μέσα εἰς αὐτό χρυσᾶ ἔβαλες, θεά μου, χαλινάρια γιά τά μικρά ἐλάφια.
Εἰς ποῖον μέρος ἤρχισε γιά πρώτη φορά νά σέ σηκώνῃ τό κεράτινον ὄχημα (τό ἅρμα πού ὁδηγοῦν τά ἐλάφια μέ τά κέρατα);
Εἰς τόν Αἷμον τῆς Θράκης· ἀπό ἐκεῖ (ἀπό τόν Αἷμον) προέρχεται ἡ καταιγίς τοῦ βορρᾶ, πού φέρει εἰς τούς μή ἔχοντας χλαῖναν (πού δέν ἔχουν παλτό), τό ὑπερβολικόν ψῦχος (τήν παγωνιά).
Καί εἰς ποῖον μέρος ἔκαψες πεῦκο; καί ἀπό ποιό πεῦκο ἄναψες φωτιά;
Εἰς τόν μυσαρόν Ὄλυμπον· κι᾽ ἔβαλες πνοήν εἰς τό ἄσβεστον φῶς (εἰς τό φῶς, πού δέν σβήνει), πού τό ἀποστάζουν οἱ κεραυνοί τοῦ πατρός σου.
Πόσες φορές, θεά μου, ἐδοκίμασες (ἐχρησιμοποίησες) τό λαμπερό τόξο σου;
Γιά πρώτη φορά τό ἔρριψες ἐναντίον πτελέας, γιά δευτέρα φορά ἐναντίον βαλανιδιᾶς, γιά τρίτη πάλι ἐναντίον θηρίου· τό τέταρτον βέλος δέν τό ἔρριψες πλέον ἐναντίον βαλανιδιᾶς,

στίχοι 122-150

ἀλλά μιν εἰς ἀδίκων ἔβαλες πόλιν, οἵ τε περί σφεας,
οἵ τε περί ξείνους ἀλιτήμονα πόλλ᾽ ἐτέλεσκον.
σχέτλιοι, οἷς τύνη χαλεπήν ἐμμάξεαι ὀργήν.
κτηνέα φιν λοιμός καταβόσκεται, ἔργα δέ πάχνη·
κείρονται δέ γέροντες ἐφ᾽ υἱάσιν· αἱ δέ γυναῖκες,
ἤ βληταί θνήσκουσι λεχωΐδες, ἠέ φυγοῦσαι
τίκτουσιν· τῶν δ᾽ οὐδέν ἐπί σφυρόν ὀρθόν ἀνέστη.
οὓς δέ κεν εὐμειδής τε καί ἴλαος αὐγάσσηαι,

στίχοι 122-150

ἀλλά τό ἐξετόξευσες ἐναντίον πόλεως ἀδίκων ἀνθρώπων,
οἱ ὁποῖοι καί εἰς αὐτούς τούς ἰδίους καί ἐναντίον τῶν ξένων διέπραττον πολλά ἀδικήματα.
Δυστυχεῖς εἶναι ἐκεῖνοι, ἐναντίον τῶν ὁποίων ἐσύ θά καταληφθῇς ἀπό φοβεράν ὀργήν.
Θανατηφόρος ἀσθένεια κατατρώγει τά ζῷά των καί τά γεωργικά προϊόντα των καταστρέφει ἡ πάχνη (ὁ παγετός)· οἱ γέροντες κόπτουν τά μαλλιά των γιά τά παιδιά των· πενθοῦν μέ τό κόψιμο τῶν μαλλιῶν των – τῆς κόμης των – γιά τόν θάνατον τῶν παιδιῶν των)· αἱ γυναῖκές των ἤ πεθαίνουν ὡς λεχῶνες, πού προσεβλήθησαν ἀπό ἀσθένειαν, ἤ γεννοῦν, ἀφοῦ πεθάνουν· καί τίποτε εἰς αὐτούς δέν μένει ὄρθιον.
Ὅσους ὅμως προσβλέπεις μέ εὐμένειαν καί μέ ἱλαρότητα, (μέ καλήν διάθεσιν) εἰς αὐ-

κείνοις εὖ μέν ἄρουρα φέρει στάχυν, εὖ δέ γενέθλη τετραπόδων, εὖ δ᾽ ὅλβος ἀέξεται,οὐδ᾽ ἐπί σῆμα
ἔρχονται, πλήν εὖτε πολυχρόνιόν τι φέρωσιν.
οὐδέ δισχοστασίη τρώει γένος, ἤτε καί εὖ περ
οἴκους ἐστηῶτας ἐσίνατο· ταί δέ θυωρόν
εἰνάτερες γαλόῳ τε μίαν πέρι δίφρα τίθενται.
πότνια, τῶν εἴη μέν, ἐμοί φίλος ὅστις ἀληθής,
εἴην δ᾽ αὐτός, ἄνασσα· μέλοι δέ μοι αἰέν ἀοιδή,
τῇ ἔνι μέν Λητοῦς γάμος ἔσσεται, ἐν δέ σύ πολλή,
ἐν δέ καί Ἀπόλλων, ἐν δ᾽ οἱ σέο πάντες ἄεθλοι,
ἐν δέ κύνες καί τόξα καί ἄντυγες, αἴτε σε ρεῖα ·
θηητήν φορέουσιν, ὅτ᾽ ἐς Διός οἶκον ἐλαύνεις.
ἔνθα τοι ἀντιόωντες ἐνί προμολῇσι δέχονται,
ὅπλα μέν Ἑρμείης Ἀκακήσιος, αὐτάρ Ἀπόλλων
θηρίον ὅ,τι φέρῃσθα· πάροιθε δέ, πρίν περ ἱκέσθαι καρτερόν Ἀλκείδην· νῦν δ᾽ οὐκ ἔτι τοῦτον ἄεθλον Φοῖβος ἔχει.
τοῖος γάρ ἀεί Τιρύνθιος ἄκμων
ἔστηκε πρό πυλέων, ποτιδέγμενος, εἴ τι φέρουσα νεῖαι πῖον ἔδεσμα. θεοί δ᾽ ἐπί πάντες ἐκείνῳ
ἄλληκτον γελόωσι, μάλιστα δέ πενθερή αὐτή,
ταῦρον ὅτ᾽ ἐκ δίφροιο μάλα μέγαν, ἤ ὄγε χλούνην

κάπρον ὀπισθιδίοιο φέρων ποδός ἀσπαίροντα,
κερδαλέῳ μύθῳ σε, θεή, μάλα τῷδε πινύσκει·
βάλλε κακούς ἐπί θῆρας, ἵνα θνητοί σε βοηθόν,
ὡς ἐμέ, κικλήσκωσιν. ἔα πρόκας ἠδέ λαγωούς
οὔρεα βόσκεσθαι· τί δέ κεν πρόκες ἠδέ λαγωοί ρέξειαν; σύες ἔργα, σύες φυτά λωμαίνονται.
καί βόες ἀνθρώποισι κακόν μέγα· βάλλ᾽ ἐπί καί τούς.

τούς ἡ γῆ των ἡ καλλιεργήσιμος (τά χωράφια των) παράγει πολύ σιτάρι καί εἶναι πολλές αἱ γεννήσεις τῶν ζῴων των, καί ἡ εὐτυχία των καί ὁ πλοῦτός των αὐξάνεται, οὔτε ἔρχονται εἰς τόν τάφον (δέν ἀποθνήσκουν), παρά μόνον ὅταν ζήσουν ἐπί πολύν χρόνον (ὅταν γεράσουν).

Οὔτε ἡ διχόνοια πληγώνει τήν οἰκογένειαν, ἡ ὁποία (διχόνοια) βλάπτει ἀκόμη καί σπίτια, πού εἶναι εἰς καλήν κατάστασιν· αἱ δέ συννυφάδες παραθέτουν εἰς τήν ἀνδραδέλφην των (εἰς τήν ἀδελφήν τοῦ ἀνδρός των) σκαμνιά (καθίσματα) γύρω ἀπό ἕνα φιλόξενο τραπέζι.

Σεβαστή θεά, εἴθε ἀπό αὐτούς νά εἶναι φίλος μου ἐκεῖνος, πού εἶναι ἀληθινός,
εἴθε νά εἶμαι φίλος εἰς αὐτούς καί ἐγώ ὁ ἴδιος, βασίλισσά μου·
καί εἴθε πάντοτε νά ἐνδιαφέρωμαι γιά τό τραγούδι, ὅπου θά εἶναι ὁ γάμος τῆς Λητοῦς (μέ τό ὁποῖον θά τραγουδιέται ὁ γάμος τῆς Λητοῦς) καί ὅλοι οἱ ἰδικοί σου ἆθλοι (τά ἰδικά σου κατορθώματα), καί ὁ Ἀπόλλων καί τά τόξα καί τό ἅρμα, πού εὔκολα σέ μεταφέρει ἀξιοθαύμαστον, ὅταν πηγαίνῃς εἰς τόν οἶκον τοῦ Διός.

Ἐδῶ σέ συναντοῦν εἰς τάς ὑπωρείας καί σέ ὑποδέχονται, καί ὁ μέν ἄκακος Ἑρμῆς δέχεται (λαμβάνει) τά ὅπλα σου, ὁ δέ Ἀπόλλων τό ζῶον, ὁποιο φέρεις (ὁ,τιδήποτε ζῶον φέρεις)· (κι᾽ αὐτά γίνονται), προτοῦ φθάσει ὁ ἰσχυρός Ἀλκείδης· τώρα ὅμως δέν ἔχει πλέον αὐτόν τόν ἆθλον
ὁ Φοῖβος. Διότι αὐτός στέκεται πάντοτε ὡς Τιρύνθιος ἄκμων μπροστά ἀπό τίς πύλες καί σέ ὑποδέχεται, ὅταν ἔρχεσαι μεταφέρουσα κάποιο πλούσιον φαγητόν. Ὅλοι δέ οἱ θεοί γελοῦν ἀκαταπαύστως δι᾽ ἐκεῖνον, πρό πάντων δέ ἡ ἰδία ἡ πενθερά,
ὅταν αὐτός (ὁ Ἀπόλλων) μεταφέρῃ ἀπό τό ἅρμα ταῦρον πολύ μεγάλον ἤ κάποιον ἀγριό-

χοιρον, πού σπαρταρᾷ μέ τό ὀπίσθιο πόδι του· καί σέ συμβουλεύει, θεά μου, μέ αὐτόν τόν πολύ ὠφέλιμον λόγον: Κτύπα τά ἐπιβλαβῆ ζῶα, διά νά σέ ἐπικαλοῦνται οἱ ἄνθρωποι ὡς βοηθόν των,
καθώς ἐπικαλοῦνται ἐμέ· ἄφινε τά ἐλάφια καί τούς λαγούς νά βόσκουν εἰς τά βουνά· τί ἠμποροῦν νά κάμουν τά ἐλάφια καί οἱ λαγοί; οἱ ἀγριόχοιροι καταστρέφουν τάς γεωργικάς καλλιεργείας, οἱ ἀγριόχοιροι καταστρέφουν τάς φυτείας.

Καί τά βόδια ἐπίσης εἶναι μεγάλο κακό γιά τούς ἀνθρώπους· κτύπα τα κι᾽ αὐτά (σκότωνέ τα).

Ὡς ἔνεπεν, ταχινός δέ μέγαν περί θῆρα πονεῖται.
οὐ γάρ ὄγε, Φρυγίῃ περ ὑπό δρυΐ γυῖς θεωθείς,
παύσατ' ἀδηφαγίης· ἔτι οἱ παρά νηδύς ἐκείνη,
τῇ ποτ' ἀροτριώωντι συνήντετο Θεοδάμαντι.
σοί δ' Ἀμνισιάδες μέν ὑπό ζεύγληφι λυθείσας
ψήχουσιν κεμάδας, παρά δέ σφίσι πουλύ νέμεσθαι Ἥρης ἐκ λειμῶνος ἀμησάμεναι φορέουσιν
ὠκύθοον τριπέτηλον, ὅ καί Διός ἵπποι ἔδουσι·
ἐν καί χρυσείας ὑπολῃνίδας ἐπλήσαντο ὕδατος, ὄφρ' ἐλάφοισι ποτόν θυμάρμενον εἴῃ.
αὐτή δ' ἐς πατρός δόμον ἔρχεαι· οἱ δέ σ' ἐφ' ἕδρην πάντες ὁμῶς καλέουσι·
σύ δ' Ἀπόλλωνι παρίζεις.
ἡνίκα δ' αἱ νύμφαι σε χορῷ ἔνι κυκλώσονται
ἀγχόθι πηγάων Αἰγυπτίου Ἰνωποῖο,
ἤ Πιτάνης, (καί γάρ Πιτάνη σέθεν), ἤ ἐνί Λίμναις,
ἤ Ἴνα, δαῖμον, Ἀλάς Ἀραφηνίδας οἰκήσοισα
ἦλθες ἀπό Σκυθίης, ἀπό δ' εἴπαο τέθμια Ταύρων·
μή νειόν τημοῦτος ἐμαί βόες εἵνεκα μισθοῦ
τετράγυον τέμνοιεν ὑπ' ἀλλοτρίῳ ἀροτῆρι.
ἦ γάρ κεν γυῖαί τε καί αὐχένα κεκμηῶτι κόπρον ἔπι προγένοιντο, καί εἰ Τυμφαιῖδες εἶεν, εἰναετιζόμεναι, κερεαλκέες· αἳ μέγ' ἄρισται

Αὐτά τά λόγια εἶπε καί γρήγορα ἀπασχολεῖται μέ τό μεγάλο θηρίον.

Διότι αὐτό, καίτοι κατά τά μέλη του ἀπεθεώθη (ἔγινε θεός) κάτω ἀπό τήν βαλανιδιά εἰς τήν Φρυγίαν,
δέν κατέπαυσε τήν λαιμαργίαν του· εἶχεν ἀκόμη ἐκείνην τήν κοιλίαν, μέ τήν ὁποίαν συνήντησε κάποτε τόν Θειοδάμαντα, ἐνῶ αὐτός ἐκαλλιεργοῦσε.

γιά σέ ὅμως αἱ Ἀμνισιάδες (αἱ γυναῖκες τῆς Ἀμνισοῦ) ξυστρίζουν τά ἐλαφάκια, ὅταν λυθοῦν ἀπό τίς ζεῦγλες, καί φέρουν εἰς αὐτά (τά ἐλάφια) πολύ τριφύλλι, πού αὐξάνεται γρήγορα, γιά νά βοσκήσουν, ἀφοῦ τό κόψουν ἀπό τό λιβάδι τῆς Ἥρας· αὐτό τό τριφύλλι τό τρώγουν καί οἱ ἵπποι τοῦ Διός.

Ἐγέμισαν ἐπίσης καί χρυσᾶ δοχεῖα μέ νερό, διά νά ἔχουν τά ἐλάφια ποτό, πού εἶναι ἀρεστό εἰς αὐτά.

Καί σύ ἡ ἰδία πηγαίνεις εἰς τόν οἶκον τοῦ πατρός σου· ὅλοι δέ μαζί σέ καλοῦν νά καθίσῃς εἰς τόν θρόνον· καί σύ κάθεσαι πλησίον τοῦ Ἀπόλλωνος.

Ὅταν δέ αἱ νύμφαι θά σέ περικυκλώσουν ἐν χορῷ πλησίον τῶν πηγῶν τοῦ Αἰγυπτίου Ἰνωποῦ
ἤ πλησίον τῆς Πιτάνης – διότι καί ἡ Πιτάνη εἶναι ἰδική σου – ἤ εἰς τάς Λίμνας,
ἤ εἰς τάς Ἀραφηνίδας Ἀλάς, ὅπου ἦλθες ἀπό τήν Σκυθίαν διά νά κατοικήσῃς, καί ἀπηγόρευσες τά ἔθιμα τῶν Ταύρων· νά μή ὀργώνουν τότε τά ἰδικά μου βόδια γιά μισθό χέρσο χωράφι τεσσάρων στρεμμάτων ὑπό τήν καθοδήγησιν ξένου καλλιεργητοῦ.

Διότι κουρασμένα στά μέλη των καί στόν τράχηλόν των θά ἐπανέλθουν εἰς τήν μάνδραν των, ἀκόμη καί ἄν εἶναι ἀπό τήν Τύμφην καί ἐννέα ἐτῶν καί μέ ἰσχυρά κέρατα·
αὐτά τά βόδια εἶναι πάρα πολύ δυνατά

στίχοι 180-207

τέμνειν ὦλκα βαθεῖαν· ἐπεί θεός οὔποτ' ἐκεῖνον
ἦλθε πάρ' Ἠέλιος καλόν χορόν· ἀλλά θεῆται
δίφρον ἐπιστήσας, τά δέ φάεα μηκύνονται.

Τίς δέ νύ τοι νήσων, ποῖον δ' ὄρος εὔαδε πλεῖστον; τίς δέ λιμήν; ποίη δέ πόλις; τίνα δ' ἔξοχα νυμφέων φίλαο, καί

στίχοι 180-207

νά ὀργώνουν βαθύ αὐλάκι· ἐπειδή ὁ θεός Ἥλιος οὐδέποτε ἦλθεν εἰς ἐκεῖνον τόν ὡραῖον χορόν· ἀλλά ἀφοῦ σταμάτησε τό ἅρμα του παρατηρεῖ, τά δέ φῶτά του (τό φῶς τοῦ Ἡλίου) ἀργοποροῦν.

Ποιό ἀπό τά νησιά καί ποιό βουνό σοῦ ἀρέσει πάρα πολύ; καί ποιό λιμάνι; καί ποιά πόλις; καί ποιά ἀπό τίς νύμφες ἀγάπησες ἐξαιρετικά καί ποιές ἡρωίδες εἶχες συντρόφους; Πές μού το, θεά, ἐσύ μέν εἰς ἡμᾶς, ἐγώ δέ θά τό διαλαλήσω εἰς τούς ἄλλους.

ποίας ἡρωΐδας ἔσχες ἑταίρας;
εἰπέ, θεά, σύ μέν ἄμμιν, ἐγώ δ' ἑτέροισιν ἀείσω.
νήσων μέν Δολίχη, πολίων δέ τοι εὔαδε Πέργη,
Τηΰγετον δ' ὀρέων, λιμένες γε μέν Εὐρίποιο.
ἔξοχα δ' ἀλλάων Γορτυνίδα φίλαο νύμφην,
ἑλλοφόνον Βριτόμαρτιν, ἐΰσκοπον· ἧς ποτε Μίνως πτοιηθείς ὑπ' ἔρωτι
κατέδραμεν οὔρεα Κρήτης.
ἡ δ' ὁτέ μέν λασίῃσιν ὑπό δρυσί κρύπτετο νύμφη,
ἄλλοτε δ' εἰαμενῇσιν. ὁ δ' ἐννέα μῆνας ἑφοίτα
παίπαλά τε κρημνούς τε· καὶ οὐκ ἀνέπαυσε διωκτύν, μέσφ' ὅτε,
μαρπτομένη καί δή σχεδόν, ἤλατο πόντον πρηόνος ἐξ ὑπάτοιο· καί ἔνθορεν εἰς ἁλιήων
δίκτυα, τά σφ' ἐσάωσεν. ὅθεν μετέπειτα Κύδωνες
νύμφαν μέν Δίκτυναν, ὄρος δ', ὅθεν ἤλατο νύμφη,
Δικταῖον καλέουσιν· ἀνεστήσαντο δέ βωμούς,
ἱερά τε ῥέζουσι· τό δέ στέφος ἤματι κείνῳ,
ἤ πίτυς ἤ σχῖνος· μύρτοιο δέ χεῖρες ἄθικτοι.
δή τότε γάρ πέπλοισιν ἐνέσχετο μύρσινος ὄζος
τῆς κούρης, ὅτ' ἔφευγεν· ὅθεν μέγα χώσατο μύρτῳ.

στίχοι 208-235

Οὖπι ἄνασσ' εὐῶπι, φαεσφόρε, καί δέ σε κείνης
Κρηταέες καλέουσιν ἐπωνυμίην ἀπό νύμφης.
καί μήν Κυρήνην ἑταρίσσαο, τῇ ποτ' ἔδωκας
αὐτή θηρητῆρε δύω κύνε, τοῖς ἔνι κούρη
ὑψηῖς παρά τύμβον Ἰώλκιον ἔμμορ' ἀέθλου.
καί Κεφάλου ξανθήν ἄλοχον Δηϊονίδαο,
πότνια, σήν ὁμόθηρον ἐθήκαο· καί δέ σε φασί
καλήν Ἀντίκλειαν ἴσον φαέεσσι φιλῆσαι,
αἳ πρῶται θοά τόξα καί ἀμφ' ὤμοισι

Ἀπό τά νησιά σοῦ ἄρεσε ἡ Δολίχη καί ἀπό τάς πόλεις ἡ Πέργη·
ἀπό τά βουνά ὁ Ταΰγετος· σοῦ ἄρεσαν ἀκόμη τά λιμάνια τοῦ Εὐρίπου.

Ἀπό τίς ἄλλες νύμφες ἀγάπησες ἐξαιρετικά τήν Γορτυνίδα νύμφην, τήν Βριτόμαρτιν, πού σκοτώνει τά ἐλάφια, τήν ὀξυδερκῆ· ἀπ' αὐτῆς τόν ἔρωτα καταπλαγείς κάποτε ὁ Μίνως περιέτρεχε τά βουνά τῆς Κρήτης.

Αὐτή ὅμως ἡ νύμφη ἐκρύπτετο ἄλλοτε μέν κάτω ἀπό πυκνές βαλανιδιές,
ἄλλοτε δέ εἰς τόπους χαμηλούς. Κι' ἐκεῖνος ἐπί ἐννέα μῆνας περιεφέρετο εἰς δύσβατα μέρη καί εἰς κρημνούς· καί δέν κατέπαυσε τήν καταδίωξιν (τό κυνηγητό),
παρά μόνον ὅταν ἐκείνη, σχεδόν συλληφθεῖσα, ἐπήδησεν εἰς τήν θάλασσαν
ἀπό ὑψηλότατον βράχον· καί ἐπήδησε (ἔπεσε) μέσα εἰς δίκτυα ψαράδων, τά ὁποῖα τήν ἔσωσαν· γι' αὐτό ὕστερα οἱ Κύδωνες τήν μέν νύμφην τήν ὠνόμασαν Δίκτυναν, τό δέ βουνό, ἀπό ὅπου ἐπήδησεν ἡ νύμφη, τό ὠνόμασαν Δικταῖον· καί ἔστησαν βωμούς, ὅπου προσφέρουν θυσίας· τό δέ στεφάνι κατά τήν ἡμέραν ἐκείνην ἦτο ἀπό πιτυά ἤ ἀπό σχῖνον (σχινάρι)· ἀλλά δέν ἄγγιξαν μέ τά χέρια των τήν μυρτιά.

Διότι τότε, ἐνῶ ἡ κόρη ἔφευγε, ἐνεπλάκη εἰς τούς πέπλους της ἕνας κλάδος ἀπό μυρτιά· γι' αὐτό ἐθύμωσε πολύ ἐναντίον τῆς μυρτιᾶς.

στίχοι 208-235

Ὦ Οὖπι, βασίλισσα μέ τά ὡραῖα μάτια, πού φέρεις τό φῶς, καί εἰς ἐσέ ἀπό ἐκείνην τήν νύμφην σοῦ ἔδωσαν τό ὄνομα οἱ Κρῆτες.

Καί βέβαια καί τήν Κυρήνην ἐδιάλεξες γιά σύντροφό σου, καί εἰς αὐτήν ἔδωσες κάποτε ἐσύ δύο κυνηγετικά σκυλιά, μέ τά ὁποῖα ἡ ὑψηλή κόρη ἀξιώθηκε νά πάρῃ βραβεῖον πλησίον εἰς τόν τύμβον τῆς Ἰωλκοῦ.

Καί τήν ξανθήν σύζυγον τοῦ Δηϊονίδου Κεφάλου τήν κατέστησες, σεβαστή δέσποινα, συγκυνηγόν σου· καί λέγουν ἀκόμη, ὅτι ἐσύ ἀγάπησες τήν ὡραίαν Ἀντίκλειαν ἴσα μέ τό φῶς·
αὐτές πρῶτες ἐφόρεσαν γρήγορα τόξα καί εἰς τούς ὤμους των ἔβαλαν φαρέτρας μέ τά βέλη·

φαρέτρας
ἰοδόκους ἐφόρησαν· ἀσύλωτοι δέ φιν ὦμοι
δεξιτεροί, καί γυμνός ἀεί παρεφαίνετο μαζός
ἤνησας δ' ἔτι πάγχυ ποδορρώην Ἀταλάντην
κούρην Ἰασίοιο συοκτόνον Ἀρκασίδαο,
καί ἑ κυνηλασίην τε καί εὐστοχίην ἐδίδαξας.
οὔ μιν ἐπίκλητοι Καλυδωνίου ἀγρευτῆρες
μέμφονται κάπροιο· τά γάρ σημήϊα νίκης
Ἀρκαδίην εἰσῆλθεν, ἔχει δ' ἔτι θηρός ὀδόντας.
οὐδέ μέν Ὑλαῖόν τε καί ἄφρονα Ροῖκον ἔολπα,
οὐδέ περ ἐχθαίροντας, ἐν Ἄϊδι μωμήσεσθαι
τοξότιν· οὐ γάρ σφιν λαγόνες συνεπιψεύσονται,
τάων Μαιναλίη νᾶεν φόνῳ ἀκρώρεια.
Πότνια, πουλυμέλαθρε, πολύπτολι, χαῖρε, Χιτώνη,
Μιλήτῳ ἐπίδημε· σέ γάρ ποιήσατο Νηλεύς
ἡγεμόνην, ὅτε νησίν ἀνήγετο Κεκροπίηθεν.
Χησιάς, Ἰμβρασίη, πρωτόθρονε· σοί δ' Ἀγαμέμνων
πηδάλιον νηός σφετέρης ἐγκάθετο νηῷ,
μείλιον ἁπλοΐης, ὅτε οἱ κατέδησας ἀήτας,
Τεύκρων ἡνίκα νῆες Ἀχαιΐδες ἄστεα κήδειν
ἔπλεον, ἀμφ' Ἑλένῃ Ραμνουσίδι θυμωθεῖσαι.
ἦ μέν τοι Προῖτός γε δύω ἐκαθίσσατο νηούς·
ἄλλον μέν Κορίης, ὅτι οἱ συνελέξαο κούρας
οὔρεα πλαζομένας Ἀζήνια· τόν δ' ἐνί Λούσσοις

στίχοι 236-264

ἡμέρῃ· οὕνεκα θυμόν ἀπ' ἄγριον εἵλεο παίδων.
σοί καί Ἀμαζονίδες, πολέμου ἐπιθυμήτειραι,
ἔν κοτε παραλίῃ Ἐφέσου βρέτας ἱδρύσαντο
φηγῷ ὑπό πρέμνῳ· τέλεσεν δέ τοι ἱερόν Ἱππώ.

καί οἱ δεξιοί ὦμοί των ἔγιναν σκληροί, καί πάντοτε ὁ μαστός των ἐφαίνετο γυμνός.

Προσέτι ἐτίμησες παρά πολύ τήν ὡραίαν Ἀταλάντην μέ τά ἰσχυρά πόδια, τήν κόρην τοῦ Ἰάσου τοῦ Ἀρκασίδου, πού σκοτώνει τούς ἀγριόχοιρους,
καί τήν ἐδίδαξες τό κυνήγι μέ τά σκυλιά καί τίς εὔστοχες βολές.

Δέν ἐπικρίνουν αὐτήν οἱ σύμμαχοι κυνηγοί τοῦ Καλυδωνίου κάπρου·
διότι τά σημάδια τῆς νίκης
εἰσῆλθον εἰς τήν Ἀρκαδίαν, καί κατέχει ἀκόμα τά δόντια τοῦ θηρίου.

Οὔτε βέβαια φοβοῦμαι ὅτι ὁ Ὑλαῖος καί ὁ ἀνόητος Ροῖκος, ἀκόμη καί ἄν τήν ἐχθρεύωνται, θά κατηγορήσουν ἐν τῷ Ἅδῃ τήν τοξεύτριαν· διότι δέν θά ψευσθοῦν μαζί μέ αὐτούς τά πλευρά (τά πλάγια – αἱ πλαγιές), ἀπό τά ὁποῖα ἡ ἀκρώρεια (ἡ κορυφή) τοῦ Μαινάλου ἔρρεε μέ αἷμα.

Σεβαστή δέσποινα, μέ τούς πολλούς ναούς καί τάς πολλάς πόλεις,
χαῖρε, ὦ Χιτώνη,
σύ πού διαμένεις εἰς τήν Μίλητον· διότι ἐσέ ὁ Νηλεύς σέ κατέστησεν ὁδηγόν, ὅταν μέ τά πλοῖα ἀπέπλεεν ἐκ τῆς Κεκροπίας (τῆς Ἀττικῆς)·
σύ ἡ Χησιάς, ἡ Ἰμβρασία, πού κατέχεις τήν πρώτην θέσιν· πρός ἐξευμενισμόν σου κατέθεσεν (ἀφιέρωσε) ὁ Ἀγαμέμνων τό πηδάλιον τοῦ πλοίου του εἰς τόν ναόν σου,
ὡς ἐξευμενιστικόν τῆς ἀπνοίας (τῆς ἀδυναμίας του νά ταξιδεύσῃ), ὅταν ἐσύ ἔδεσες τούς ἀνέμους,
κατά τήν ἐποχήν πού τά πλοῖα τῶν Ἀχαιῶν ἔπλεον, διά νά καταστρέψουν τάς πόλεις τῶν Τεύκρων, ἐπειδή ἦσαν ὠργισμένοι ἐξ αἰτίας τῆς Ραμνουσίδος Ἑλένης (τῆς Ἑλένης ἀπό τόν Ραμνοῦντα).

Πρός τιμήν σου βέβαια ὁ Προῖτος ἐγκαθίδρυσε δύο ναούς·
καί ἄλλον ναόν ὁ Κορίας, διότι συνέλεξες (ἐμάζεψες) τάς κόρας του,
πού περιεπλανῶντο εἰς τά Ἀζήνια ὄρη· ἄλλον δέ εἰς τά Λοῦσσα κατά τήν ἡμέραν· διότι ἀφῆ-

στίχοι 236-264

ρεσες τόν ἄγριον θυμόν τῶν παιδιῶν του.

Πρός τιμήν σου καί αἱ Ἀμαζονίδες, πού ποθοῦν τόν πόλεμον, ἔστησαν κάποτε τό ξόανόν σου (ξύλινον ὁμοίωμα – τήν εἰκόνα σου) εἰς τήν παραλίαν τῆς Ἐφέσου κάτω ἀπό τόν κορμόν μιᾶς βαλανιδιᾶς· ἐτέλεσε δέ θυσίαν γιά σέ ἡ Ἱππώ.

αὐταί δ', Οὔπι ἄνασσα, περί πρύλιν ὠρχήσαντο,
πρῶτα μέν ἐν σακέεσσιν ἐνόπλιον, αὖθι δέ κύκλῳ
στησάμεναι χορόν εὐρύν· ὑπήεισαν δέ λιγεῖαι
λεπταλέον σύριγγες, ἵνα πλήσσωσιν ὁμαρτῇ·
(οὐ γάρ πω νέβρεια δι' ὀστέα τετρήνοντο,
ἔργον Ἀθηναίης ἐλάφῳ κακόν) ἔδραμε δ' ἠχώ
Σάρδιας ἔς τε νομόν Βερεκύνθιον· αἱ δέ πόδεσσιν οὔλα κατεκροτάλιζον, ἐπεψόφεον δέ φαρέτραι.
κεῖνο δέ τοι μετέπειτα περί βρέτας εὐρύ θέμεθλον δωμήθη· τοῦ δ' οὔτι θεώτερον ὄψεται Ἠώς,
οὐδ' ἀφνειότερον· ῥέα κεν Πυθῶνα παρέλθοι.
τῷ ρα καί ἠλαίνων ἀλαπαζέμεν ἠπείλησε Λύγδαμις ὑβριστής· ἐπί δέ στρατόν ἱππημολγῶν
ἦγαγε Κιμμερίων, ψαμάθῳ ἴσον, οἵ ρα παρ' αὐτόν κεκλιμένοι ναίουσι βοός πόρον Ἰναχιώνης.
ἃ δειλός βασιλέων, ὅσον ἤλιτεν· οὐ γάρ ἔμελλεν
οὔτ' αὐτός Σκυθίηνδε παλιμπετές, οὔτε τις ἄλλος,
ὅσσων ἐν λειμῶνι Καϋστρίῳ ἔσταν ἄμαξαι,
νοστήσειν· Ἐφέσου γάρ ἀεί τεά τόξα πρόκειται.

Πότνια Μουνυχίη, λιμενοσκόπε, χαῖρε, Φεραίη·
μή τις ἀτιμήσῃ τήν Ἄρτεμιν· οὐδέ γάρ Οἰνεῖ
βωμόν ἀτιμήσαντι καλοί πτόλιν ἦλθον ἀγῶνες·
μηδ' ἐλαφηβολίην, μηδ' εὐστοχίην ἐριδαίνειν·
οὐδέ γάρ Ἀτρείδης ὀλίγῳ ἐπεκόμπασε μισθῷ.
μηδέ τινα μνᾶσθαι τήν παρθένον· οὐδέ γάρ Ὦτος,

Κι' αὐτές, Οὔπι βασίλισσά μου, ἐχόρευσαν ἐνόπλιον χορόν,
κατ' ἀρχάς μέν ἐνόπλιον χορόν μέ ἀσπίδας, ἔπειτα δέ ἔστησαν κυκλικῶς μεγάλον χορόν·
σιγοτραγουδοῦσαν δέ γλυκά μέ τήν συνοδείαν λιγυρῶν συρίγγων, διά νά προξενοῦν συγχρόνως ἔκπληξιν·
– διότι ἀκόμη δέν διετρυπῶντο τά ἐλάφινα ὀστᾶ, πού ἦτο κακόν ἔργον τῆς Ἀθηνᾶς κατά τῶν ἐλαφιῶν –· διέτρεξε δέ ἡ ἠχώ (ὁ ἀντίλαλος) εἰς τάς Σάρδεις καί ἔφθασεν ἕως εἰς Βερεκύνθιον περιοχήν (ὡς τήν Φρυγίαν)·
κι' ἐκεῖνες (αἱ Ἀμαζονίδες) προξενοῦσαν φοβερόν κρότον μέ τά πόδια των καί ἀπό ἐπάνω αἱ φαρέτραι μεγάλον θόρυβον.

Καί γύρω ἀπό ἐκεῖνο τό ξόανον ἐκτίσθη ἀργότερα μεγάλος ναός·
